1600

IHS

Archivo de Loyola

Sección ........ Serie ........ N.º 83 bis

Est. 13

Plut. 4

PINDAR

TO. I

**Archivo de Loyola**

*Estante* ...............

*Plúteo* ...............

Universidad de Deusto
Biblioteca

26.1.
Universidad de Deusto
Biblioteca

Universidad de Deusto
Biblioteca

# PINDARI

## Olympia, Pythia, Nemea, Isthmia.

CÆTERORVM OCTO
Lyricorum carmina,

ALCAEI, ANACREONTIS,
SAPPHVS, BACCHYLIDIS,
STESICHORI, SIMONIDIS,
IBYCI, ALCMANIS.

*Nonnulla etiam aliorum.*

Editio IIII. Græcolatina, H. Steph. recognitione quorundam interpretationis locorum, & accessione lyricorum carminum locupletata.



Excudebat Paulus Stephanus.

ANNO M. DC.

Universidad de Deusto
Biblioteca



HENRICVS STEphanus Philippo Melanchthoni S. P. D.

*REdditæ mihi nuper tuæ literæ fuerunt, Philippe, (literarum & literatorum decus) non solùm humanitatis plenæ, sed insigne etiam tuæ erga me propemodum paternæ beneuolentiæ indicium præbentes. Quibus quòd me ad promouẽdum Græcæ linguæ thesaurum vehementer hortatus es, currenti tu quidem (quod aiunt) calcar addidisti: quòd autem & tu & Ioachimus Camerarius vestrum mihi de opere illo consilium aperuistis, hoc sanè pacto lõgè planiorem faciliorémque meo cursui viam patefecistis. Sed eum (nequis tarditatem pedum aut segnitiem in causa esse putet) crebra remorata sunt hactenus, remorantúrque etiam nunc diuerticula. Sic autem appello ea præsertim quæ Græcorum scriptorum editio mihi affert auocamenta. Ea autem qualia quantaque esse soleãt, nuper declarauit editus à me Diodorus Siculus, declarabit propediem (Deo fauente) Xenophon, declarat iam nunc lyricorum*

Universidad de Deusto Biblioteca



princeps Pindarus. Quem certè poetam ego semper quidem magni (pro eo ac debui) feci: sed tum demum maximi faciendum putaui quum te, inter tot tantásque occupationes, interpretatione tua dignatum esse illius carmina cognoui. Commodùm autem in manus meas illa venit, quum de apponenda Græcis Latina translatione (vt in hac lingua tyronibus & rudibus gratificarer) cogitare cœpissem. Quanuis enim illum ita interpretatus sis vt singulis verbis te minimè adstrinxeris, nec verborum numerum sed pondus examinaueris, ad hanc tamen verbis alligatam, & (vt vulgus appellat) ad verbum interpretationem, maximum adiumentum illo tuo labore attulisti. Vtinam tamen tantum tibi à grauioribus tuis magísq; serijs occupationibus otij fuisset, vt ex tuo autographo translationem tuam dare excudendam tibi vacare potuisset. Cæterùm ego, qui omnes Græcos scriptores (præsertímque poetas) ad verbum translatos, arboribus quibus autumnus suum foliorum honorem decussit, cōparare soleo, in nullo magis quàm in Pindaro compara-



tionem hanc locum habere existimo. Cur eius interpretationem edidi? Nimirum vt ab ijs qui sunt in hac lingua tyrones (vti dixi) gratiam inirem, Græca cum Latinis (quod in libera miniméque adstricta interpretatione nequeunt) conferre cupientibus, & rudem quādam in animo habere sententiæ informationem contentis. Exhibet autem velut appendicem hic libellus, reliquorum octo lyricorum carmina quæcunque sparsa per authores inuenire potui. Quo certè nomine hoc munusculum gratius tibi fore confido. Vtinam tamen maiore téque digniore aliqua in re tibi gratificando, mei erga te mutui amoris, & tantæ, quanta coli mereris, obseruantiæ testimonium dare possem. Sed (vt ait ille) qui quàm potuit dat maxima, gratus abundè est. Deus Opt. Max. te canitiei tuæ fructibus Rempub. literariam diu locupletare sinat. Vale Musæ parens patriæ. Ex typographeio nostro Cal. April. AN. MDLX.

Universidad de Deusto Biblioteca

## HORATII ODE II, *lib.* IIII. *Carm.*

Pindarum quiſquis ſtudet æmulari
Iule, ceratis ope Dædalea
Nititur pennis, vitreo daturus
Nomina ponto.
Monte decurrens velut amnis, imbres
Quem ſuper notas aluêre ripas,
Feruet immenſúſque ruit profundo
Pindarus ore:
Laurea donandus Apollinari,
Seu per audaces noua dithyrambos
Verba deuoluit, numeríſque fertur
Lege ſolutis:
Seu deos regéſque canit, deorum
Sanguinem: per quos cecidere iuſta
Morte Centauri, cecidit tremendæ
Flamma Chimæræ.
Siue quos Elea domum reducit
Palma cæleſtes, pugilém ve equúm ve
Dicit, & centum potiore ſignis
Munere donat.
Flebili ſponſæ iuuenémve raptum
Plorat: & vires, animúmque, moréſque
Aureos deducit in aſtra, nigróque
Inuidet Orco.
Multa Direæum leuat aura cygnum
Tendit Antoni quoties in altos
Nubium tractus: ego &c.



### Ἀντιπάτρου εἰς Πίνδαρον.

Πιερικὰν σάλπιγγα, τὸν εὐαγέων βαρυ-
ὑμνων
Χαλκευτὰν κατέχει Πίνδαρον ἅδε κό-
νις.
Οὗ μέλος εἰσαΐων φθέγξαιό κεν ὡς ἀπὸ μου-
σῶν
Ἐν Κάδμου θαλάμοις σμῆνος ἀπε-
πλάσατο.

### Τοῦ αὐτοῦ εἰς εἰκόνα Πινδάρου.

Νεβρείων ὁπόσον σάλπιγξ ὑπερίαχεν αὐ-
λῶν,
Τόσσον ὑπὲρ πάσας ἔκραγε σεῖο χέλυς.
Οὐδὲ μάτην ἁπαλὸς ξουθὸς περὶ χείλεσιν
ἑσμὸς
Ἔπλασε κηρόδετον Πίνδαρε σεῖο μέλι.
Μάρτυς ὁ μαινάλιος κερόεις θεὸς, ὕμνον
ἀείσας
Τὸν σέο, καὶ νομίων λυσάμενος δονάκων.

### Λεωνίδου εἰς τὸν αὐτὸν Πίνδαρον.

Ἤπιος ἦν ξείνοισιν ἀνὴρ ὅδε, καὶ φίλος ἀ-
στοῖς,
Πίνδαρος, εὐφώνων Πιερίδων πρόπολος.

Universidad de Deusto Biblioteca

# ΠΙΝΔΑΡΟΥ
# Ὀλύμπια.

## ΙΕΡΩΝΙ ΣΥ-
## ρακουσίῳ, κέλητι.
## Εἶδος Α'.

στροφὴ α. κώλων ιζ.

ΑΡΙΣΤΟΝ μὲν ὕδωρ· ὁ δὲ χρυσὸς, αἰθόμενον πῦρ ἅτε διαπρέπει νυκτὶ, μεγάνορος ἔξοχα πλούτου.
εἰ δ' ἄεθλα γαρύεν
ἔλδεαι φίλον ἦτορ,
μηκέτ' ἀλίου σκόπει
ἄλλο θαλπνότερον
ἐν ἁμέρᾳ φαεινὸν ἄστρον
ἐρήμας δι' αἰθέρος·
μηδ' ὀλυμπίας ἀγῶνα



# PINDARI
# Olympia,

interpretata ad verbum.

## HIERONI SY-
## racusano, equo celete *victoriam adepto.*
## Ode I.

OPTIMA quidem *est* aqua, & aurum (vel-ut ignis noctu ardens) coruscat eximiè inter superbificas diuitias.: at si certamina narrare cupis anime mi, ne iam sole contemplaris aliud splendidius astrum, lucens interdiu per vacuum ætherem: neque Olympico certamen

Universidad de Deusto Bilbao

φέρτερον αὐδάσομεν.
ὅθεν ὁ πολύφατος
ὕμνος ἀμφιβάλλεται
σοφῶν μητίεσσι, κελαδεῖν
Κρόνου παῖδ', ἐς ἀφνεὰν ἱκομένους
μάκαιραν Ἱέρωνος ἑστίαν·
ἀντιστρ. κῶ. ιζ.
θεμιστεῖον ὃς ἀμφέπει
σκᾶπτον ἐν πολυμάλῳ
Σικελίᾳ, δρέπων μὲν
κορυφὰς ἀρετᾶν ἀπὸ πασᾶν·
ἀγλαΐζεται δὲ καὶ
μουσικᾶς ἐν ἀώτῳ,
οἷα παίζομεν φίλαν
ἄνδρες ἀμφὶ θαμὰ
τράπεζαν. ἀλλὰ δωρίαν ἀ-
πὸ φόρμιγγα πασσάλου
λάμβαν', εἴ τί τοι Πίσας τε
καὶ Φερενίκου χάρις
νόον ὑπὸ γλυκυτά-
ταις ἔθηκε φροντίσιν·
ὅτε παρ' Ἀλφεῷ σύτο, δέμας
ἀκέντητον ἐν δρόμοισι παρέχων,
κράτει δὲ προσέμιξε δεσπόταν,



præstantius dicemus. vnde celeberrimus hymnus contexitur doctorum ingeniis, vt decantent Saturni filium, venientes opulentam & beatam Hieronis domum:
* iustum qui regit sceptrum in diuite pecoris Sicilia, decerpens quidem summitates ex singulis virtutibus: resplendet autem & musices in flore, qualiter ludimus frequenter *nos* viri circa mensam iucundam. Sed Doricam citharam à clauo exime, si tibi Pisæ & Pherenici *equi* gratia mentem dulcissimis subiecit cogitationibus: quando iuxta Alpheum concitus ferebatur, corpus non stimulatum in cursu præbens, & victoriæ admouit dominum,

ἐπῳ. κῶ. ιγ.

συρακόσιον ἱπποχάρμαν
βασιλῆα. λάμπει
δέ οἱ κλέος πὰρ εὐάνορι λυδοῦ
Πέλοπος ἀποικίᾳ· τοῦ μεγασθενὴς
ἐράσσατο γαιάοχος Ποσειδῶν,
ἐπεί νιν καθαροῦ λέβητος ἔξελε
Κλωθὼ, ἐλέφαντι φαίδιμον
ὦμον κεκαδμένον·
„ ἦ θαῦμα τὰ πολλά.
„ καί που τι καὶ βροτῶν φρένα,
„ ὑπὲρ τὸν ἀληθῆ λόγον,
„ δεδαιδαλμένοι ψεύδεσι ποικίλοις
„ ἐξαπατῶντι μῦθοι.

στρο. β. κῶ. ιζ.

„ χάρις δ' ἅπερ ἅπαντα τεύ-
„ χει τὰ μείλιχα θνατοῖς,
„ ἐπιφέροισα τιμὰν.
„ καὶ ἄπιστον ἐμήσατο πιστὸν
„ ἔμμεναι τὸ πολλάκις.
„ ἁμέραι δ' ἐπίλοιποι,
„ μάρτυρες σοφώτατοι.
„ ἔστι δ' ἀνδρὶ φάμεν
„ ἐοικὸς ἀμφὶ δαιμόνων κα-



Syracusium regem, equis gaudentem. Splendet autem eius gloria apud insignem viris Lydi Pelopis coloniam: quem præpotens amauit terram continẽs Neptunus, postquam eum puro ex lebete exemit Clotho, *quum esset* ebore præclarum humerum ornatus. Sanè miraculum *sunt* multa, „ & vtiq; mortalium mentem, magis quàm verus „ sermo, diuersis variegatæ „ mendaciis decipiunt fabulæ. „ * Sed gratia *poetices* quæ omnia facit „ quæcunque blanda mortalibus, afferens honorem, etiam *quod est* incredibile, solertia effecit „ sæpe credibile esse. Sed „ posteri dies testes sunt sapientissimi. Est autem „ homini conueniens dicere de diis hone-

Universidad de Deusto Biblioteca

λά. μείων γὰρ αἰτία.
υἱὲ Ταντάλου, σὲ δ' ἀντί-
α προτέρων φθέγξομαι.
ὁπότ' ἐκάλεσε πα-
τὴρ τὸν εὐνομώτατον
ἐς ἔρανον, φίλαν τε Σίπυλον,
ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων,
τότ' ἀγλαοτρίαιναν ἁρπάσαι,

ἀντιστρ. κῶ. ιζ.

δαμέντα φρένας ἱμέρῳ,
χρυσέαισιν ἀν' ἵπποις,
ὕπατον εὐρυτίμου
ποτὶ δῶμα Διὸς μεταβᾶσαι.
ἔνθα δευτέρῳ χρόνῳ
ἦλθε καὶ Γανυμήδης
Ζηνὶ τωὔτ' ἐπὶ χρέος.
ὡς δ' ἄφαντος ἔπε-
λες, οὐδὲ ματρὶ πολλὰ μαιό-
μενοι φῶτες ἄγαγον,
ἔννεπε κρυφᾷ τις αὐτί-
κα φθονερῶν γειτόνων,
ὕδατος ὅτι τε πυ-
ρὶ ζέοισαν ἀμφ' ἀκμὰν
μαχαίρᾳ τάμον κατὰ μέλη,



sta. minor enim culpa est. Fili Tantali, te contra quàm priores laudabo. Quando vocauit pater ad legitimas epulas, charámque Sipylum, vicissim diis cœnam præbens, tunc tridente inclytum *Neptunnum* *domitum mentem cupidine, *te* rapuisse *aio* auratis in equis, vt in altissimam latè honorati Iouis domum transferret. Quò posteriori tempore venit & Ganymedes Ioui ad idem ministerium. Postquam autem nusquam cõspicuus fuisti, neq; matri multùm quærentes viri *te* adduxerũt, statim dixit clàm aliquis ex inuidis vicinis quòd circa feruentem vehementiam aquæ, gladio dissecuissent membratim,

τραπέζαισί τ' ἀμφὶ δεύτατα κρεῶν
σέθεν διεδάσαντο, καὶ φάγον.

ἐπῳ. κῶ. ιγ.

ἐμοὶ δ' ἄπορα γαστρίμαργον
μακάρων τιν' εἰπεῖν.
ἀφίσταμαι. ἀκέρδεια λέλογχε
θαμινὰ κακαγόρως. εἰ δὲ δή τιν' ἄν-
δρα θνατὸν Ὀλύμπου σκοποὶ ἐτίμα-
σαν, ἦν Τάνταλος οὗτος. ἀλλὰ γὰρ κατα-
πέψαι μέγαν ὄλβον οὐκ ἐδυ-
νάσθη· κόρῳ δ' ἕλεν
ἄταν ὑπέροπλον,
τάν οἱ πατὴρ ὑπερκρέμα-
σε, καρτερὸν αὐτῷ λίθον·
τὸν αἰεὶ μενοινῶν κεφαλᾶς βαλεῖν,
εὐφροσύνας ἀλᾶται.

στροφὴ γ. κῶ. ιζ.

ἔχει δ' ἀπάλαμον βίον
τοῦτον, ἐμπεδόμοχθον,
μετὰ τριῶν τέταρτον
πόνον, ἀθανάτων ὅτι κλέψαις
ἁλίκεσσι συμπόταις
νέκταρ ἀμβροσίαν τε
δῶκεν, οἷσιν ἄφθιτον

Universidad de Deusto Biblioteca



& mensis extremitates carnium tuarum distribuissent, atque comedissent.

* Mihi verò absurdum *est* heluonem deorũ aliquem appellare. Abstineo *ab hoc.* noxa sortitur crebrò maledicos. Quòd si quem virum mortalem Olympi custodes honorauerunt, fuit Tantalus hic. sedenim concoquere magnam felicitatem non potuit, sed saturitate accepit damnũ immensum, quod ei pater *Iupiter* superappendit, validum lapidem: quẽ semper cupiẽs à capite depellere, à lætitia aberrat.

* Habet autem omni auxilio carentem vitam hãc & vehementer ærumnosum cum tribus quartum laborem, deorum quòd coæqualibus compotoribus furatus nectar ambrosiamque dederit: in quibus immortalitatem

» θέσσαν. εἰ δὲ θεόν
» ἀνήρ τις ἔλπεταί τι λαθέ-
» μεν ἔρδων, ἁμαρτάνει.
τοὔνεκα προῆκαν υἱὸν
ἀθάνατοι οἱ πάλιν
μετὰ τὸ ταχύποτμον
αὖθις ἀνέρων ἔθνος.
πρὸς εὐάνθεμον δ᾽, ὅτε φυὰν
λάχναι νιν μέλαν γένειον ἔρεφον,
ἑτοῖμον ἀνεφρόντισεν γάμον,

ἀντιστρ. κώ. ιζ.

Πισάτα παρὰ πατρὸς εὔ-
δοξον Ἱπποδάμειαν
σχεθέμεν. ἄγχι δ᾽ ἐλθὼν
πολιᾶς ἁλὸς οἶος ἐν ὄρφνᾳ,
ἄπυεν βαρύκτυπον
εὐτρίαιναν. ὁ δ᾽ αὐτῷ
παρ᾽ ποσὶ σχεδὸν φάνη.
τῷ μὲν εἶπε, φίλι-
α δῶρα Κυπρίας ἄγ᾽ εἴ τι
Ποσείδαον ἐς χάριν
τέλλεται, πέδασον ἔγχος
Οἰνομάου χάλκεον,
ἐμὲ δ᾽ ἐπὶ ταχυτά-



posuerũt. Quòd si Deum «
vir aliquis sperat latere «
faciens quidpiam, falli- «
tur. Idcirco demiserunt «
illi filium immortales
rursum ad obnoxium celeri morti hominum genus. in florida autem ætate, quum lanugo eius nigrum mentum coronabat, paratas nuptias animo volutauit, * à Pisate patre inclytam Hippodamiam vt haberet. veniens autem prope canum mare solus in nocte, inclamabat grauistrepum, tridente insignem *Neptunum*. hic autem ipsi iuxta pedes propè apparuit. Cui quidem *Pelops* dixit, Age, siquid suauia dona Veneris sunt in gratiam, impedi hastam OEnomai æream, me autem in velocissi-

Universidad de Burgos Biblioteca

τῶν πόρευσον ἁρμάτων
ἐς Ἆλιν, κράτει δὲ πέλασον.
ἐπεὶ τρεῖς γε καὶ δέκ' ἄνδρας ὀλέσαις
ἐρῶντας, ἀναβάλλεται γάμον

ἐπῳ. κῶ. ιγ.

» θυγατρός. ὁ μέγας δὲ κίνδυ-
» νος ἄναλκιν οὐ φῶ-
» τα λαμβάνει. θανεῖν δ' οἷσιν ἀνάγκα
» τί κέ τις ἀνώνυμον γῆρας ἐν σκότῳ
» καθήμενος ἕψοι μάταν, ἁπάντων
» καλῶν ἄμμορος; ἀλλ' ἐμοὶ μὲν οὗτος
ἄεθλός γ' ὑποκείσεται, τὺ δὲ
πρᾶξιν φίλαν δίδοι.
ὣς ἔννεπεν· οὐδ' ἀ-
κράντοις ἐφάψατ' ὦν ἔπε-
σι, τὸν μὲν ἀγάλλων θεός,
ἔδωκεν δίφρον χρύσεον, ἐν πτεροῖ-
σίν τ' ἀκάμαντας ἵππους.

στρο. δ. κῶ. ιζ.

ἕλεν δ' Οἰνομάου βίαν,
παρθένον τε σύνευνον.
ἃ τέκε λαγέτας ἕξ,
ἀρεταῖσι μεμαλότας υἱούς.
νῦν δ' ἐν αἱμακουρίαις



mis transmitte curribus ad Elin, ac victoriæ admoue. nam tredecim viros postquam perdidit amantes, differt nuptias * filiæ. « Magnum periculum imbellem virum non admittit. « Mori autem quibus « necesse, cur aliquis *ex illis* « ignobile senium in tenebris « desidens maceret frustra, « omnium rerum honestarum « expers? Sed mihi quidem hoc certamen subibitur: tu verò euentum gratum da. Sic loquutus est. neque irrita attigit verba. eum enim decorans Deus, dedit currum aureum, & in alis indefessos equos. * Cepit igitur OEnomaum fortem, & virginem coniugem, quæ peperit duces sex, virtutum curam habentes filios. Nunc autem in exequiis.

Universidad de Deusto Biblioteca



ἀγλααῖσι μέμικται,
Ἀλφεοῦ πόρῳ κλιθείς,
τύμβον ἀμφίπολον
ἔχων πολυξενωτάτῳ πα-
ρὰ βωμῷ. τὸ δὲ κλέος
τηλόθεν δέδορκε τᾶν ὀ-
λυμπιάδων, ἐν δρόμοις
Πέλοπος, ἵνα ταχυ-
τὰς ποδῶν ἐρίζεται,
ἀκμαί τ' ἰσχύος θρασύπονοι.
« ὁ νικῶν δὲ, λοιπὸν ἀμφὶ βίοτον
« ἔχει μελιτόεσσαν εὐδίαν,

ἀντιστρ. κῶ. ιζ.

« ἀέθλων γ' ἕνεκεν. τὸ δ' αἰ-
« εὶ παράμερον ἐσλὸν,
« ὕπατον ἔρχεται παν-
« τὶ βροτῷ. ἐμὲ δὲ στεφανῶσαι
ἐκεῖνον ἱππικῷ νόμῳ
αἰοληΐδι μολπᾷ
χρή. πέποιθα δὲ ξένον
μή τιν' ἀμφότερα
καλῶν τε ἴδριν ἄλλον καὶ δύ-
ναμιν κυριώτερον,
τῶν γε νῦν, κλυταῖσι δαιδα-



magnificis mixtus est, iuxta Alphei meatum reclinatus, tumulum habẽs qui vndiq; ambitur, frequentissimam hospitibus apud aram. gloria autem eminus conspicitur Olympicorum certaminum in cursibus Pelopis: vbi velocitas pedum certat, & vigores roboris audaces in laboribus. Qui * “ autem vincit, reliqua in “ vita habet mellitam tranquillitatem, * propter “ præmia victoriæ. Semper “ autem quod vno *quolibet* “ die *obuenit* bonum, summum venit omni mortali. “ Me autem coronare illum equestri lege Æolico cantu oportet. confido enim amicum nullum vtraque *habentem*, & rerum honestarum peritum & potẽtia preſtantiorem, ex iis quidem qui nũc *sunt*, illustribus orna-

Universidad de Deusto Biblioteca

λωσέμεν ὕμνων πτυχαῖς.
θεὸς ἐπίτροπος ἐ-
ὼν, τεαῖσι μήδεται
ἔχων τοῦτο κῆδος Ἱέρων
μερίμναισιν. εἰ δὲ μὴ ταχὺ λίποι,
ἔτι γλυκυτέραν κεν ἔλπομαι
ἐπῳ. κῶ. ιγ.
σὺν ἅρματι θοῷ κλεΐξειν,
ἐπίκουρον εὑρὼν
ὁδὸν λόγων, παρ' εὐδείελον ἐλθὼν
Κρόνιον. ἐμοὶ μὲν ὦν μοῖσα καρτερώ-
τατον βέλος ἀλκᾷ τρέφει. ἐπ' ἄλλοι-
σι δ' ἄλλοι μεγάλοι· τὸ δ' ἔσχατον κορυ-
φοῦται βασιλεῦσι. μηκέτι
πάπταινε πόρσιον.
εἴη σέ τε τοῦτον
ὑψοῦ χρόνον πατεῖν, ἐμέ
τε τοσσάδε νικαφόροις
ὁμιλεῖν, πρόφαντον σοφίαν καθ' Ἕλ-
λανας ἐόντα παντᾷ.



turum hymnorum plicis. Deus custos tuis prouidet curis, habens hanc solicitudinem, Hiero. quòd si non citò defecerit, adhuc spero suauiorem * cum currú celeri me decantaturũ, adiutricem nactum viam verborum, ad expositum soli quum venero Cronium *promontorium*. Mihi igitur Musa fortissimum telum robore nutrit. In aliis *rebus* alij magni *sunt*, supremum verò ad summitatem attollitur in regibus, ne amplius circunspice longiús. Contingat te hoc tempus *vitæ* in sublimi transigere, méque tantis cum victoribus versari, conspicuum sapientia inter Græcos vbique.

Universidad de Deusto Biblioteca

# ΘΗΡΩΝΙ Α-κραγαντίνῳ, ἅρματι.

## Εἶδος Β.

στρο. α. κῶ. ιδ.

ἈΝαξιφόρμιγγες ὕμνοι,
τίνα θεὸν, τίν' ἥρωα,
τίνα δ' ἄνδρα κελαδήσομεν;
ἤτοι Πίσα μὲν, Διός·
Ὀλυμπιάδα δ' ἔστα-
σεν Ἡρακλέης,
ἀκρόθινα πολέμου.
Θήρωνα δὲ τετραορίας
ἕνεκα νικαφόρου
γεγωνητέον ὀπὶ,
δίκαιον ξένον,
ἔρεισμ' Ἀκράγαντος,
εὐωνύμων τε πατέρων
ἄωτον, ὀρθόπολιν.

ἀντιστρ. κῶ. ιδ.

καμόντες οἳ πολλὰ θυμῷ,
ἱερὸν ἔσχον οἴκημα
ποταμοῦ, Σικελίας τ' ἔσαν



# THERONI Agrigẽtino, curru victoriam adepto.

## Ode II.

HYmni dominantes citharæ, quẽ deum, quem heroem, quem virum celebrabimus? Sanè Pisa quidem Iouis *est*: Olympicum autem certamen instituit Hercules, primitias spoliorum belli. Sed Theronem, ob cursum in quadrigis victorem, sonare oportet voce, iustum hospitem, columen Agrigenti, clarorum progenitorum florem, rectorem vrbium. * Qui quum laborassent multum animo, sacram tenuerunt sedem flu-

ὀφθαλμός. αἰὼν τ᾽ ἔφε-
πε μόρσιμος. πλοῦτόν
τε καὶ χάριν ἄγων
γνησίαις ἐπ᾽ ἀρεταῖς.
ἀλλ᾽ ὦ Κρόνιε παῖ Ῥέας,
ἕδος ὀλύμπου νέμων,
ἀέθλων τε κορυφάν,
πόρον τ᾽ Ἀλφεοῦ,
ἰανθεὶς ἀοιδαῖς,
εὔφρων ἄρουραν ἔτι πα-
τρίαν σφίσιν κόμισον

ἐπῳ. κῶ. η.

» λοιπῷ γένει. τῶν δὲ πεπραγμένων
» ἐν δίκα τε καὶ παρὰ δίκαν,
» ἀποίητον οὐδ᾽ ἂν
» χρόνος ὁ πάντων πατὴρ
» δύναιτο θέμεν ἔργων τέλος·
» λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοι-
» ἐσλῶν γὰρ ὑπὸ χαρμάτων (τ᾽ ἂν
» πῆμα θνάσκει παλίγκοτον δαμασθέν·

στροφὴ ε. κῶ. ιδ.

» ὅταν θεοῦ μοῖρα πέμπῃ
» ἀνεκὰς ὄλβον ὑψηλόν.
ἕπεται δὲ λόγος εὐθρόνοις

Universidad de Deusto Biblioteca



oculus: vitáque inseque-
batur fatum bonum sor-
tita, diuitias & gratiam
afferens natiuis virtuti-
bus. Sed ô Saturnie fili
Rheę, sedem Olympi gu-
bernans, & certaminum
summitatem, meatúm-
que Alphei, delectatus
hymnis, beneuolus ar-
uum adhuc natale ipsis
cura * postero gene- «
ri. Anteactorum autem «
operum finem & cum «
iure & præter ius, infe- «
ctum ne ipsum quidem «
tempus omnium parens «
possit reddere: sed obli- «
uio sorte cum prospera «
esse possit. Bonis enim à «
gaudiis malum perit o- «
diosum domitū, * quan- «
do Dei numen mittit
tandem opes altas. Con-
gruit autem *hic* sermo
in bona sede locatis

Universidad de Deusto Biblioteca

Κάδμοιο κούραις, ἔπα-
θον αἳ μεγάλα. πένθος
δὲ πίτνει βαρὺ
κρεσσόνων πρὸς ἀγαθῶν.
ζώει μὲν ἐν ὀλυμπίοις,
ἀποθανοῖσα βρόμῳ
κεραυνοῦ τανυέθει-
ρα Σεμέλα. φιλεῖ
δὲ μιν Παλλὰς αἰεί,
καὶ Ζεὺς πατὴρ μάλα· φιλεῖ
δὲ παῖς ὁ κισσοφόρος.

ἀντιστροφή, κῶ. ιδ.

λέγοντι δ' ἐν καὶ θαλάσσᾳ,
μετὰ κόραισι Νηρῆος
ἁλίαις, βίοτον ἄφθιτον
Ἰνοῖ τετάχθαι, τὸν ὅ-
λον ἀμφὶ χρόνον. ἤτοι
βροτῶν γε κέκριται
πεῖρας οὔτι θανάτου,
οὐδ' ἁσύχιμον ἁμέραν
ὁπότε παῖδ' ἀλίου
ἀτειρεῖ σὺν ἀγαθῷ
τελευτάσομεν.
ῥοαὶ δ' ἄλλοτ' ἄλλαι



Cadmi filiabus, passæ sunt quæ grauia: sed luctus opprimitur grauis à potioribus bonis. Viuit quidem inter cœlestes mortua fragore fulminis passis crinibus Semele: sed amat eā Pallas semper, & Iupiter pater valdè: amat etiam puer hederiger. * Aiunt autē & in mari cum filiabus Nerei marinis vitam immortalem Inoni constitutam esse, omne per tempus. Sanè mortalium præscriptus est terminus nullus mortis: neque *scimus* quando tranquillum diem vnquā filium Solis stabili cū bono finiemus. Nam fluxus aliâs alii

» εὐθυμιᾶν τε μέτα καὶ
» πόνων ἐς ἄνδρας ἔβαν.

ἐπῳδὸς κῶ. η.

οὕτω δὲ μοῖρ', ἅ τε πατρώϊον
τῶν δ' ἔχει τὸν εὔφρονα πότμον
θεόρτῳ σὺν ὄλβῳ,
ἐπί τι καὶ πῆμ' ἄγει
παλιντράπελον ἄλλῳ χρόνῳ,
ἐξ οὗπερ ἔκτεινε Λάϊον μόριμος υἱὸς
συναντόμενος, ἐν δὲ Πυ-
θῶνι χρησθὲν παλαίφατον τέλεσσεν,

στροφὴ γ. κῶ. ιδ.

ἰδοῦσα δ' ὀξεῖ' Ἐριννὺς
πέφνεν ἑοῖ σὺν ἀλληλο-
φονίᾳ γένος ἀρήϊον.
λείφθη δὲ Θέρσανδρος ἐ-
ριπόντι Πολυνείκει.
νέοισ' ἀέθλοισιν
ἐν μάχαις τε πολέμου
τιμώμενος, Ἀδραστειδᾶν
θάλος ἀρωγὸν δόμοις,
ὅθεν σπέρματος ἔχον-
τα ῥίζαν. πρέπει
τὸν Αἰνησιδάμου



cum voluptatibus & labori- «
bus homines inuadunt. *Sic «
& fortuna, quæ paternam
horum habet iucundam
ſortem à deo profectis cum
diuitiis, aliquam etiam cla-
dem adducit in contrarium
verſam alio tempore. Ex
quo interfecit Laium fata-
lis filius occurrens, & ora-
culum vetus apud Pythonē
editum perfecit. * Sed in-
tuita acris Erinnys interfe-
cit ipſi per mutuam cædem
prolem Martiam. relictúſ-
que eſt Therſander interfe-
cto Polynici, iuuenilibus
certaminibus in pugníſque
belli honoratus exiſtens,
Adraſtidûm germen auxi-
liare domui, à quo ſemi-
nis habent radicem *Thero-
nis maiores*. Decet *filium*
Æneſidemi

Universidad de Deusto
Biblioteca



ἐγκωμίων τε μελέων
λυρᾶν τε τυγχανέμεν.
ἀντιστρ. κώ. ιϛ.
Ὀλυμπίᾳ μὲν γὰρ αὐτὸς
γέρας ἔδεκτο· Πυθῶνι
δ' ὁμόκλαρον ἐς ἀδελφεὸν,
Ἰσθμοῖ τε, κοιναὶ χάριτες ἄνθεα τεθρίππων
δυωδεκαδρόμων
ἄγαγον. τὸ δὲ τυχεῖν
πειρώμενον ἀγωνίας,
παραλύει δυσφρόνων.
ὁ μὰν πλοῦτος ἀρεταῖς
δεδαιδαλμένος
φέρει τῶν τε καὶ τῶν
καιρὸν, βαθεῖαν ὑπέχων
μέριμναν, ἀγροτέραν·
ἐπῳδὸς, κώ. η.
ἀστὴρ ἀρίζηλος, ἀλαθινὸν
ἀνδρὶ φέγγος. εἰ δέ μιν ἔχων
τις, οἶδε τὸ μέλλον,
ὅτι θανόντων μὲν ἐν-
θάδ' αὐτίκ' ἀπάλαμνοι φρένες
ποινὰς ἔτισαν. τὰ δ' ἐν τᾷδε Διὸς ἀρχᾷ



encomiastica carmina lyrásque consequi. * nam apud Olympiam ipse præmium accepit: apud Pythonem autem, eiusdem sortis participem ad fratrem, & apud Isthmum communes gratię quadrigarum duodecim cursus conficientium attulerũt flores. Experientem autem certamen, potiri, liberat à tristibus curis. Diuitiæ etiam virtutibus ornatæ afferunt horum atque illorum opportunitatem, profundam sustinentes solicitudinem, indagatricem *rerum honestarum. quæ diuitiæ sunt* * stella præfulgida, verum homini lumen. Quòd si eas habet aliquis, nouit futurum, quòd mortuorum hîc mox intractabiles mentes pœnas luunt: & *quæ fiunt* in hoc Io-

Universidad de Deusto Biblioteca



» ἀλιτρὰ, κατὰ γᾶς δικά-
» ζει τις, ἐχθρᾷ λόγον φράσαις ἀνάγκᾳ.

Στροφὴ δ' κώ. ιδ'.

ἴσον δὲ νύκτεσσιν αἰεὶ,
ἴσα δ' ἐν ἁμέραις ἅλι-
ον ἔχοντες, ἀπονέστερον
ἐσλοὶ νέμονται βίο-
τον. οὐ χθόνα ταράσσον-
τες ἀλκᾷ χερῶν,
οὐδὲ πόντιον ὕδωρ,
» κεινὰν παρὰ δίαιταν· ἀλ-
» λὰ παρὰ μὲν τιμίοις
» θεῶν, οἵτινες ἔχαι-
» ρον εὐορκίαις,
» ἄδακρυν νέμονται
» αἰῶνα. τοὶ δ' ἀπροσόρα-
» τον ὀκχέοντι πόνον.
» Ἀντιστροφὴ κώ. ιδ'.
» ὅσοι δ' ἐτόλμασαν ἐς τρὶς
» ἑκατέρωθι μείναντες,
» ἀπὸ πάμπαν ἀδίκων ἔχειν
» ψυχὰν, ἔτειλαν Διὸς
» ὁδὸν παρὰ Κρόνου τύρ-
» σιν· ἔνθα μακάρων



scelera, sub terra iudi- "
cat aliquis, hostili sen- "
tentiam pronuntiãs ne- "
cessitate. * At æqua- "
liter noctu semper, æqua-
liter etiam interdiu so-
lem habentes, non la-
boriosam boni degunt
vitam: non terram tur-
bantes robore manuum,
neque marinam aquam,
inopem propter victum:
sed apud honoratos
deos, illi qui gaudebant "
fidelitate in iureiuran- "
do, illacrymabili fruun- "
tur æuo, alij autem visu "
horrendum tolerãt cru- "
ciatum. * Quicun- "
que autem sustinuerunt, "
ter vtrobique commora- "
ti, continere omnino ab "
iniustis animam, perege- "
rũt Iouis viam ad Satur- "
ni vrbem: vbi beatorum "

Universidad de Deusto Biblioteca



νᾶσον ὠκεανίδες
αὖραι περιπνέοισιν, ἄν-
θεμα δὲ χρυσοῦ φλέγει,
τὰ μὲν χερσόθεν ἀπ' ἀ-
γλααῖς δενδρέων,
ὕδωρ δ' ἄλλα φέρβει.
ὅρμοισι τῶν χέρας ἀνα-
πλέκοντι καὶ στεφάνοις,

ἐπῳ. κώ. η.

βουλαῖς ἐν ὀρθαῖς Ῥαδαμάνθυος,
ὃν πατὴρ ἔχει Κρόνος ἑτοῖ-
μον αὐτῷ πάρεδρον,
πόσις ὁ πάντων Ῥέας
ὑπέρτατον ἐχοίσας θρόνον.
Πηλεύς τε καὶ Κάδμος ἐν τοῖσιν ἀλέ-
Ἀχιλλέα τ' ἔνεικ', ἐπεὶ (γονται.
Ζηνὸς ἦτορ λιταῖς ἔπεισε μάτηρ.

στροφὴ ε. κώ. ιδ.

ὃς Ἕκτορ' ἔσφαλε Τροίας
ἄμαχον, ἀστραβῆ κίο-
να. Κύκνον τε θανάτῳ πόρεν,
Ἀοῦς τε παῖδ' αἰθίο-
πα. πολλά μοι ὑπ' ἀγκῶ-
νος ὠκέα βέλη



insulam Oceanides auræ perflant, floresque auri micant; alii quidem ab humo, alij à pulchris arboribus, aqua autem alios educat: quorum monilibus & corollis implicant * manus, decretis in rectis Rhadamanthi, quē pater habet Saturnus promptum sibi assessorem, maritus Rheæ, omnium supremum habentis solium. Peleúsque & Cadmus inter hos recensentur. Achillémque transtulit eò mater, postquam Iouis cor precibus flexit.

* Qui Hectorem prostrauit Troiæ inexpugnabilem & firmam columnā: Cycnū quoque morti dedit. Auroræque filium Æthiopem. Multæ mihi sub cubito celeres sagittæ

Universidad de Deusto Biblioteca

ἔνδον ἐντὶ φαρέτρας
φωνάεντα συνετοῖσιν. ἐς
δὲ τὸ πὰν ἑρμηνέων
» χατίζει. σοφὸς ὁ πολ-
» λὰ εἰδὼς φυᾷ.
» μαθόντες δὲ, λάβροι
» παγγλωσσίᾳ, κόρακες ὣς,
» ἄκραντα γαρύετον

ἀντιστροφὴ κφ. ιδ.

» Διὸς πρὸς ὄρνιχα θεῖον.
ἔπεχε νῦν σκοπῷ τόξον·
ἄγε θυμὲ, τίνα βάλλομεν,
ἐκ μαλθακᾶς αὖτε φρε-
νὸς εὐκλέας ὀϊστοὺς
ἱέντες; ἐπί τοι
ἀκράγαντι τανύσαις.
αὐδάσομαι ἐνόρκιον
λόγον ἀλαθεῖ νόῳ,
τεκεῖν μή τιν' ἑκατόν
γ' ἐτέων πόλιν
φίλοις ἄνδρα μᾶλλον
εὐεργέταν πραπίσιν, ἀ-
φθονέστερόν τε χέρα,



intra pharetram sunt
sonantes prudētibus,
apud vulgus autem
intepretibus indigēt. «
Sapiens *est* qui mul- «
ta nouit naturæ so- «
lertia: qui autem di- «
sciplina vsi fuerunt, «
vehementes garruli- «
tate velut corui, irri- «
ta clamant *Iouis ad- «
uersus auem diuinā.
Intende nunc in sco-
pum arcum: agedum
anime mi, quem pe-
timus, ex beneuola
mente gloriosa tela
mittentes? In Agri-
gentum dirigas. Pro-
feram iureiurādo fir-
matum verbum vera-
ci mente, peperisse
nullam intra centum
annos ciuitatē bene-
uolo virum magis be-
neficum pectore, lar-
gioremque manu,

ἐπῳ. κώ. η.

Θήρωνος. ἀλλ' αἶνον ἔβα κόρος.
οὐ δίκᾳ συναντόμενος, ἀλ-
λὰ μάργων ὑπ' ἀνδρῶν
τὸ λαλαγῆσαι θέλων,
κρύφον τε θέμεν ἐσλῶν, κακοῖς
ἔργοις. ἐπεὶ ψάμμος ἀριθμὸν περι-
γεν, κεῖνος ὅσα χάρματ' ἄλ- (πέφευ-
λοις ἔθηκεν, τίς ἂν φράσαι δύναιτο;

# ΤΩι ΑΥΤΩι ΘΗ-ρωνι εἰς θεοξένια.

## Εἶδος Γ.

στροφὴ α. κῶ. θ.

Τυνδαρίδαις τε φιλοξένοις ἁ-
καλλιπλοκάμῳ θ' Ἑλένᾳ, (δεῖν
κλεινὰν Ἀκράγαντα γεραίρων εὔχο-
Θήρωνος ὀλυμπιονίκαν (μαι,
ὕμνον ὀρθώσαις, ἀκαμαντοπόδων
ἵππων ἄωτον.
μοῖσα δ' οὕτω ποι παρέστα
μοι νεοσίγαλον εὑρόντι τρόπον,
Δωρίῳ φωνὰν ἐναρμόξαι πεδίλῳ



*quàm Theronem. Sed gloriam inuasit insolentia, non iure se opponens, sed furiosis à viris tumultuari volens, & occultationem afferre rerum honestarum, per mala facta. Quādoquidem arena numerum refugit, ille quot gaudia aliis contulerit, quis recensere possit?

# EIDEM THEroni Theoxenia.

## Ode III.

TYndaridis hospites amātibus placere opto, pulchricomæque Helenæ, inclytum Agrigentum decorans hymno constructo *in laudem* victoris Olympici, ornamēto equorū Theronis infatigabiliū pedibus. Musa autē sic adstitit mihi nouum commēto modum, Dorico carmen vt accommodarem cothurno,

Universidad de Deusto Biblioteca

ἀντιστρ. κῶ. θ.

ἀγλαόκωμον. ἐπεὶ χαίταισι μὲν
ζευχθέντες ἔπι στέφανοι
πράσσοντί με τοῦτο θεόδματον χρέος,
φόρμιγγά τε ποικιλόγαρυν,
καὶ βοὰν αὐλῶν, ἐπέων τε θέσιν,
Αἰνησιδάμου
παιδὶ συμμίξαι πρεπόντως·
ἅ τε πίσα με γεγωνεῖν, τᾶς ἄπο
θεύμοροι νίσσοντ᾽ ἐπ᾽ ἀνθρώπους (ἀοιδαί.

ἐπῳ. κῶ. θ.

ᾧ τινι κραίνων ἐφετμὰς
Ηρακλέος προτέρας
ἀτρεκὴς ἑλλανοδίκας βλεφάρων
αἰτωλὸς ἀνὴρ ὑψόθεν,
ἀμφὶ κόμαισι βάλοι γλαυ-
κόχροα κόσμον ἐλαίας, τάν ποτε
Ἴστρου ἀπὸ σκιαρᾶν παγᾶν ἔνεικεν
Ἀμφιτρυωνιάδας,
μνᾶμα τῶν οὐλυμπίᾳ κάλλιστον ἄθλων,

στροφὴ β. κῶ. θ.

δᾶμον ὑπερβορέων πείσαις, Ἀπόλλω-
νος θεράποντα. ὅγε
πιστὰ φρονέων, Διὸς αἰτεῖ πανδόκῳ



splendida *quo instituitur chorea.* * Quoniam iubis adnexæ corollæ exigunt à me hoc diuinitus structum debitum, citharámque variè sonantem, & clamorem tibiarum, & carminũ structuram, filio Ænesidemi commiscere decenter: Pisáque *exigit* me celebrare, à qua diuinitus data veniũt ad homines carmina. * quibuscunq; exequens iussa Herculis antiqua verus iudex certaminis Ætolus vir super palpebras circũposuerit comis decus oliuæ glauci coloris: quam aliquando Istri ab opacis fontibus attulit Amphitryoniades, monumentum pulcherrimum Olympicorum certaminum, * populo Hyperboreorũ quũ persuasisset, Apollinis cultori. Ipse amica cogitãs, Iouis petit omnes excipiẽte

Universidad de Deusto
Biblioteca



ἄλσει, σκιαρόν τε φύτευμα,
ξυνὸν ἀνθρώποις, στέφανόν τ' ἀρετ
ἤδη γὰρ αὐτῷ
πατρὶ μὲν βωμῶν ἁγισθέν-
των, διχόμηνις ὅλον χρυσάρματος
ἑσπέρας ὀφθαλμὸν ἀντέφλεξε μήν
ἀντιστρ. κῶ. θ.
καὶ μεγάλων ἀέθλων ἁγνὰν κρίσιν
καὶ πενταετηρίδ' ἁμᾶ
θῆκε ζαθέοις ἐπὶ κρημνοῖς Ἀλφε
ἀλλ' οὐ καλὰ δένδρε' ἔθαλλε
χῶρος ἐν βάσσαις Κρονίου Πέλοπος.
τούτων ἔδοξε
γυμνὸς αὐτῷ κᾶπος ὀξεί-
αις ὑπακουέμεν αὐγαῖς ἁλίου.
δὴ τότ' ἐς γαῖαν πορεύειν θυμὸς ὥρμ
ἐπῳ. κῶ. η.
ν' ἰστριανῶ. ἔνθα Λατοῦς
ἱπποσόα θυγάτηρ
δέξατ' ἐλθόντ' Ἀρκαδίας ἀπὸ δει-
ρᾶν, καὶ πολυγνάμπτων μυχῶν.
εὖτέ μιν ἀγγελίαις Εὐ-
ρυσθέος ἔντυ' ἀνάγκα πατρόθεν,
χρυσόκερων ἔλαφον θήλειαν ἄξον-



luce vmbrosamque plantam, communem hominibus, coronámque virtutis. Iam enim ab ipso aris sacratis patri, plena luna, aureo curru *vecta* vespere totum oculum illustrauerat, * & magnorum certaminum sanctum iudicium, & quinquennium simul constituerat diuinis in præcipitiis Alphei. Sed non pulchris arboribus floridus erat locus in vallibus Cronii Pelopis. His visus est ei vacuus hortus acutis obedire radiis Solis: tunc igitur in terram proficisci animus cogitabat * Istrianam. vbi Latonæ filia equorum agitatrix excepit venientem Arcadiæ à iugis, & variè flexuosis recessibus. quando eum iussu Eurysthei adornabat necessitas à patre *imposita*, auricornem ceruam fœminam adductu-

Universidad de Deusto Biblioteca

θῆ'. ἄν ποτε Ταϋγέτα
ἀντιθεῖσ' Ὀρθωσίᾳ, ἔγραψεν ἱεράν.
στροφ. γ. κῶ. θ.
τοῦ καὶ μεθέπων, ἴδε κἀκείναν χθόνα
πνοιαῖς ὄπιθεν Βορέα
ψυχροῦ. τόθι δένδρεα θαύμαινε σταθείς.
τῶν νιν γλυκὺς ἵμερος ἔσχε
δωδεκάγναμπτον περὶ τέρμα δρόμου
ἵππων φυτεῦσαι.
καὶ νῦν ἐς ταύταν ἑορτὰν
ἵλαος ἀντιθέοισι νίσεται
σὺν βαθυζώνου διδύμοις παισὶ Λή-
ἀντιστρ. κῶ. θ. (δας.
τοῖς γὰρ ἐπέτραπεν Οὔλυμπόνδ' ἰὼν
θαητὸν ἀγῶνα νέμειν,
ἀνδρῶν τ' ἀρετᾶς πέρι καὶ ῥιμφαρμά-
διφρηλασίας. ἐμὲ δ' ὦν πα- (του
θυμὸς ὀτρύνει φάμεν, Ἐμμενίδαις
Θήρωνί τ' ἐλθεῖν
κῦδος, εὐίππων διδόντων
Τυνδαριδᾶν. ὅτι πλείσταισι βροτῶν
ξεινίαις αὐτοὺς ἐποίχονται τραπέζαις,
ἐπῳ. κῶ. θ.
εὐσεβεῖ γνώμᾳ φυλάσσοντες



quam aliquando Taygeta dedicans Dianę, inscripsit sacram. *Quam insequens, vidit & illam terram à tergo flatus Boreæ frigidi: vbi arbores admirabatur stãs. quarum eam dulce desiderium cepit, vt circa duodecim flexus habentem metam cursus equorum plantaret. & nunc ad hoc festum propitius cũ diuinis accedit altè pręcinctę gemellis filiis Ledæ. *His enim mãdauit in Olympum proficiscens, vt hoc certamen regerent, virorúmque de fortitudine, & celeres currus habente aurigatione. Me igitur animus impellit dicere, Emmenidis Theroníque venisse gloriam, quam dãt insignes equis Tyndaridæ: quoniã plurimis [inter cæteros] mortales hospitalib⁹ ad ipsos accedũt mensis, * religiosa mẽte obseruã-

Universidad de Deusto Biblioteca

παῖς μακάρων τελετάς.
εἰ δ᾽ ἀριστεύει μὲν ὕδωρ, κτεάνων
δὲ χρυσὸς αἰδοιέστατον,
νῦν γε πρὸς ἐσχατιὰν Θή-
ρων ἀρεταῖσιν ἱκάνων, ἅπτεται
οἴκοθεν Ἡρακλέος σταλᾶν. τὸ πόρσω
δ᾽ ἐστὶ σοφοῖς ἄβατον,
κἀσόφοις. οὔ μιν διώξω. κεινὸς εἴην.

ΨΑΥΜΙΔΙ ΚΑ-
μαριναίῳ ἵπποις.
Εἶδος Δ.
στροφὴ α, κῶλ. ιε.

Ἐλατὴρ ὑπέρτατε βροντᾶς
ἀκαμαντόποδος
ζεῦ (τεαὶ γὰρ ὧραι
ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς
ἑλισσόμεναί μ᾽ ἔπεμψαν,
ὑψηλοτάτων μάρτυρ᾽ ἀέθλων,
» ξείνων δ᾽ εὖ πρασσόντων, ἔσαναν
» αὐτίκ᾽ ἀγγελίαν
» ποτὶ γλυκεῖαν ἐσλοί.)
» ἀλλ᾽ ὦ Κρόνου παῖ, ὃς Αἴτναν ἔχεις,



tes Beatorum solennes ritus.
Quòd si præstantissima est a-
qua, inter possessiones autem
aurum maximè venerabile,
nunc certè ad extremos li-
mites Theron perueniens,
virtutibus domesticis attin-
git Herculis columnas. quod
vltra [eas est,] sapientibus &
insipientibus inaccessum est.
non igitur persequar: vanus
[enim] essem.

PSEAVMIDI CA-
marinæo, equis *victo-
riam adepto.*

Ode IIII.

Vibrator altissime toni-
trus pedibus infatiga-
bilis, Iupiter (tuę enim Horę
reuolutæ cum variæ citharę
cantu me miserunt, altissi-
morum testem certaminum.
amicis enim feliciter agenti- »
bus lætantur mox nuntium »
ad dulce [viri] boni. Sed ô Sa- »
turni fili, qui Ætnā habitas,

ἶπον ἀνεμόεσσαν ἑκατογ-
κεφάλα Τυφῶνος ὀβρίμου,
ὀλυμπιονίκαν
δέξαι χαρίτων ἕκα-
τι τὸν δὲ κῶμον,

ἀντιστρ. κώ. ιε.

χρονιώτατον φάος εὐρυ-
σθενέων ἀρετᾶν.
Ψαύμιδος γὰρ ἥκει
ὀχέων· ὃς ἐλαίᾳ στεφανωθεὶς
Πισάτιδι, κῦδος ὄρσαι
σπεύδει Καμαρίνᾳ. θεὸς εὔφρων
εἴη λοιπαῖς εὐχαῖς· ἐπεί μιν
αἰνέω, μάλα μὲν
τροφαῖς ἑτοῖμον ἵππων,
χαίροντα δὲ ξενίαις πανδόκοις.
καὶ πρὸς ἡσυχίαν φιλόπολιν
καθαρᾷ γνώμᾳ τετραμμένον.
οὐ ψεύδει τέγξω
» λόγον. διάπειρά τοι
» βροτῶν ἔλεγχος.

ἐπῳ. κῶ. ιϛ.

ἅπερ Κλυμένοιο παῖδα
Λαμνιάδων γυναικῶν



(onus ventosum centicipitis Typhonis validi) de Olympiaca victoria accipe gratiarum causa hunc chorealem hymnũ, * diuturnissimum lumen præpotentium virtutum. Psaumidis enim venit [in] curribus: qui oliua coronatus Pisæa, decus excitare properat Camarinæ. deus propitius sit reliquis [tuis] votis. quoniam ipsum prædico valde quidem alendorum studiosum equorum, gaudentémque hospitalitatibus omnium exceptricibus, & ad tranquillitatem amantem vrbis sincera mente educatum. Non mendacio tingam orationem. experientia enim mortalium [est] index: * quæ Clymeni filium Lemniacarum mulierum

Universidad de Deusto Biblioteca

ἔλυσεν ἐξ ἀτιμίας.
χαλκοισιν δ' ἐν ἔντεσι νικῶν
δρόμον, ἔειπεν Ὑψιπυλείᾳ,
μετὰ στέφανον ἰών·
οὗτος ἐγὼ ταχυτᾶτι
χεῖρες δὲ καὶ ἦτορ ἴσον.
φύονται δὲ καὶ νέοις
ἐν ἀνδράσι πολιαὶ
θαμὰ καὶ παρὰ τὸν ἁλικίας
ἐοικότα χρόνον.

## ΤΩι ΑΥΤΩι ΨΑΥΜΙΔΙ, τεθρίππῳ ἀπήνῃ, καὶ κέλητι.

### Εἶδος Ε.

στροφὴ α', κῶ. ιθ.

Ὑψηλᾶν ἀρετᾶν, καὶ
στεφάνων ἄωτον γλυκὺν,
τῶν Οὐλυμπίᾳ,
Ὠκεανοῦ θύγατερ,
καρδίᾳ γελανεῖ,
ἀκαμαντόποδός τ' ἀπήνας δέκευ



liberauit probro. æreis enim armis vincens cursum, dixit Hypsipylæ ad coronam vadens, Ille ego [sum] sed celeritatem manus & cor [æquant.] Nascuntur autem & iuuenibus in viris cani crebrò, etiam præter ætatis congruum tempus.

## EIDEM PSAVMIDI, quadrigis, vehiculo mulari, & celete *victoriam adepto*.

### Ode V.

CElsarum virtutum & coronarum florem suauem, [quæ sunt in] Olympia, [ô] filia Oceani corde hilari accipe dona vehiculique indefessi pedibus

Universidad de Deusto

Ψαύμιδος τε δῶρα,
ὃς τὰν σὰν πόλιν αὔξων
Καμαρίνα λαοτρόφον,
βωμοὺς ἓξ διδύ-
μοις ἐγέραρεν ἑορ-
ταῖς θεῶν, μεγίσταις
ὑπὸ βουθυσίαις, ἀέθλων τε πεμ-
παμέροις ἁμίλλαις,
ἵπποις, ἡμιόνοις τε, μοναμπυκί-
ᾳ τε. τὶν δὲ κῦδος
ἁβρὸν νικάσαις ἀνέθηκε· καὶ
ὃν πατέρ᾽ Ἄκρων᾽ ἐκάρυξε καὶ
τὰν νέοικον ἕδραν.

ἀντιστρ. κώ. ιθ.

ἱκὼν δ᾽ Οἰνομάου καὶ
Πέλοπος παρ᾽ εὐηράτων
σταθμῶν, ὦ πολι-
άοχε Παλλάς, ἀεί-
δει μὲν ἄλσος ἁγνὸν
τὸ τεόν, ποταμόν τε Ὤανον, ἐγ-
χωρίαν τε λίμναν,
καὶ σεμνοὺς ὀχετούς, Ἵπ-
παρις οἷσιν ἄρδει στρατόν,
κολλᾷ τε σταδί-



& Psaumidis. Qui tuã ciuitatẽ amplificãs [ô] Camarina populi altricem, aras sex geminas honorauit festis deorum, cum maximis boũ immolationibus, ludorúmque quinq; dierum, certaminibus, equis mulísque, & vnico fræno. Tibi verò decus pulchrum victor dicauit, & suũ patrem Acronẽ præconis voce pronuntiauit, & nuper conditam sedem. *Reuersus autẽ OEnomai & Pelopis ab amabilibus stationibus, ô vrbis cõseruatrix Pallas, celebrat lucum sanctũ tuum, fluuiúmq; Oanum, patriámq; paludem, & venerandos canales, quibus Hipparis rigat exercitũ: adglutinatque stabilium

ὤν θαλάμων ταχέως
ὑψίγυιον ἄλσος,
ἀπ' ἀμηχανίας ἄγων ἐς φάος
τόνδε δᾶμον ἀστῶν.
» αἰεὶ δ' ἀμφ' ἀρεταῖσι πόνος δαπά-
» να τε μάρναται, πρὸς
» ἔργον κινδύνῳ κεκαλυμμένον·
» εὖ δὲ ἔχοντες, σοφοὶ καὶ πολί-
» ταις ἔδοξαν ἔμμεν.

στροφὴ β. κῶ. ιθ.

σωτὴρ ὑψινεφὲς Ζεῦ,
Κρόνιόν τε ναίων λόφον,
τιμῶν τ' Ἀλφεὸν
εὐρὺ ῥέοντα, Ἰδαῖ-
όν τε σεμνὸν ἄντρον,
ἱκέτας σέθεν ἔρχομαι, Λυδίοις
ἀπύων ἐν αὐλοῖς,
αἰτήσων πόλιν εὐα-
νορίαισι τάνδε κλυταῖς
δαιδάλλειν· σέ τ' Ὀ-
λυμπιόνικε, Ποσει-
δανίοισιν ἵπποις
ἐπιτερπόμενον, φέρειν γῆρας εὔ-
θυμον ἐς τελευτάν,



domorum celeriter altam syluam, & à consilij inopia adducens in lucem hunc populum »
ciuium. Semper au- »
tem circa virtutes la- »
bor sumptúsque pu- »
gnant aduersus opus »
periculo tectum: voti »
autem compotes, sa- »
pientes etiam ciuibus »
visi sunt esse. * Seruator [qui es] in altis nubibus, Iupiter, Croniúmque habitans tumulum, honoránsq; Alpheum latè fluentem, Idæúmque venerabile antrum, supplex tibi venio, Lydiis sonans tibiis, petiturus vrbem hãc fortium virorum factis illustribus vt ornes: túque Olympionice, Neptuniis equis gaudens, vt feras senectutem lætam vsq; ad finem vitæ

υἱῶν Ψαῦμι παρισταμένων. ὑγί-
εντα δ' εἴτις ὄλβον
ἄρδει, ἐξαρκέων κτεάτεσσι, καὶ
εὐλογίαν προστιθεὶς, μὴ ματεύ-
σῃ θεὸς γενέσθαι.

ΑΓΗΣΙΑι ΣΥΡΑ-
κουσίῳ, υἱῷ Σωστράτου,
ἀπήνῃ. Εἶδος ς.

Χρυσέας ὑποστάσαντες εὐ-
τειχεῖ προθύρῳ θαλάμου
κίονας, ὡς ὅτε θαητὸν μέγαρον
πάξομεν. ἀρχομένου δ' ἔργου, πρόσωπον
χρὴ θέμεν τηλαυγές· εἰ
δ' εἴη μὲν ὀλυμπιονίκας,
βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν
Πίσᾳ, συνοικιστής τε τᾶν κλεινᾶν Συρα-
κουσᾶν, τίνα κεν φύγοι ὕμνον
κεῖνος ἀνὴρ, ἐπικύρσαις ἀφθόνων
ἀστῶν ἐν ἱμερταῖς ἀοιδαῖς;

ἀντιστρ. κώ. ια.

ἴστω γὰρ ἐν τούτῳ πεδί-



filiis ô Psaumi adstantibus.
Sanam autẽ siquis opulen-
tiã auget, contentus posses-
sionibus, & laudem adiun-
gens, nẹ quærat deus fieri.

AGESIAE SY-
racusano, filio So-
strati, vehiculo mu-
lari *victoriam adepto.*
Ode VI.

AVreas supponẽtes va-
lido vestibulo domus
colũnas, velut quũ præcla-
ras ædes [extruimus,] cõpin
gemus [hymnũ.] incipien-
te autẽ opere frõtispicium
oportet facere præfulgidũ.
Quòd si fuerit Olympiorũ
victor, aræque fatidicæ Io-
uis præfectus apud Pisam,
conditórq; nobilium Syra-
cusarum, quẽ non assequa-
tur hymnũ ille vir, si inci-
derit in carentes inuidẽtia
ciues in amabilibus canti-
bus? *sciat enim in hoc cal-

Universidad de Deusto Biblioteca

λῳ δαιμόνιον πόδ' ἔχων
» Σωστράτου υἱός. ἀκίνδυνοι δ' ἀρεταὶ,
» οὔτε παρ' ἀνδράσιν, οὔτ' ἐν ναυσὶ κοι- [λαις,
» τίμιαι· πολλοὶ δὲ μέ-
» μνανται καλὸν εἴ τι ποναθῇ.
Ἀγησία, τὶν δ' αἶνος ἑτοῖμος, ὃν ἐν
δίκᾳ ἀπὸ γλώσσης Ἄδραστος μάντιν Οἰ-
κλείδαν ποτ' ἐς Ἀμφιάρεον
φθέγξατ', ἐπεὶ κατὰ γαῖ' αὐτόν τέ νιν
καὶ φαιδίμας ἵππους ἔμαρψεν.

ἐπῳ. κῶ. ιδ.

ἑπτὰ δ' ἔπειτα πυρᾶν νεκρῶν πλε-
θέντων, Ταλαϊονίδας
εἶπεν ἐν Θήβαισι τοιοῦτόν τι ἔπος,
ποθέω στρατιᾶς
ὀφθαλμὸν ἐμᾶς, ἀμφότερον,
μάντιν τ' ἀγαθὸν,
καὶ δουρὶ μάρνασθαι. τὸ καὶ
ἀνδρὶ κώμου δεσπότᾳ
νῦν πάρεστι συρακοσίῳ.
οὐ φιλόνεικος ἐὼν,
οὔτ' ὦν δύσερις τις ἄγαν,
καὶ μέγαν ὅρκον ὀμόσσαις,
τοῦτό γέ οἱ σαφέως μαρτυρή-



ceo diuinum pedem se habere Sostrati filius. Periculorum autem expertes virtutes neque apud homines neque in nauibus cauis pretiosæ [sunt.] multi autẽ meminerunt siquid præclarum elaboratum fuerit. Agesia, tibi autem laus parata, quam iure lingua Adrastus de vate Oiclei filio Amphiarao protulit, postquam terrra eúmque ipsum & insignes equos absorpsit. * Septem enim postea rogis cadauerum constructis, Talaïonides [Adrastus] dixit apud Thebas tale quoddam verbum, Desidero exercitus oculum mei, vtrunque, vatémque bonum, & ad pugnandum hasta. quod etiam viro [huius] hymni domino nunc adest Syracusano. Nõ contentiosus existens, neque rixosus valde, & magnum iusiurandum iuratus, hoc ei palàm testifica-

σω μελίφθογγοι δ' ἐπιτρέψοντι μοῖσαι.

στροφὴ β. κῶ. ια.

ὦ Φίντις, ἀλλὰ ζεῦξον ἤ-
δη μοι σθένος ἡμιόνων
ᾇ τάχος, ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ
βάσομεν ὄκχον, ἵκωμαί τε πρὸς ἀν-
καὶ γένος. κεῖναι γὰρ ἐξ [δρῶν
ἀλλᾶν, ὁδὸν ἁγεμονεῦσαι
ταύταν ἐπίστανται, στεφάνοις ἐν ὀλυμ-
πίᾳ ἐπεὶ δέξαντο. χρὴ τοίνυν πύλας
ὕμνων ἀναπιτνάμεν αὐταῖς.
πρὸς Πιτάναν δὲ παρ' Εὐρώτα πόρον
δεῖ σάμερόν γ' ἐλθεῖν ἐν ὥρᾳ.

ἀντιστρ. κῶ. ια.

ἅ τοι Ποσειδάονι μι-
χθεῖσα Κρονίῳ, λέγεται
παῖδ' ἰοπλόκαμον Εὐάδναν τεκέμεν.
κρύψαι δὲ παρθενίαν ὠδῖνα κόλποις.
κυρίῳ δ' ἐν μηνὶ πέμ-
ποισ' ἀμφιπόλοις, ἐκέλευσεν
ἥρωϊ πορσαίνειν δόμεν Εἰλατίδᾳ
βρέφος γ', ὃς ἀνδρῶν ἀρκάδων ἄνασσε
σάνᾳ, λάχε τ' Ἀλφεὸν οἰκεῖν. [Φαι-
ἔνθα τραφεῖσ' ὑπ' Ἀπόλλωνι γλυκεί-



bor. mellisonę verò permittent Musæ. * Sed ô Phinti iunge iam mihi robur mularum quam celerrimè, vt via pura ducamus currum, veniámque & ad virorum genus. illæ enim præ aliis, vię duces esse huius norunt, coronas apud Olympiam quoniam acceperunt. Oportet igitur portas hymnorũ patefacere ipsis: ad Pitanam autem iuxta Eurotæ meatum oportet hodie venire tempestiuè. * Quæ Neptuno mixta Saturni filio dicitur filiam violaceis capillis Euadnen peperisse: sed occultasse clandestinum fœtum gremio. Præstituto autem [partui] mense mittens famulos iussit dare heroi Elati filio infantem ad alendum, qui virorum Arcadum rex erat apud Phæsanam, & cui sorte obtigit Alpheum vt incoleret. vbi educata [ Euadne ] sub Apolline dul-

ας πρῶτον ἔψαυσ' ἀφροδίτας.

ἐπῳδὸς κώ. ιδ.

οὐδ' ἔλαθ' Αἴπυτον ἐν παντὶ χρόνῳ,
κλέπτοισα θεοῖο γόνον·
ἀλλ' ὁ μὲν Πυθῶνάδ', ἐν θυμῷ πιέσαις
χόλον οὐ φατὸν ὀ-
ξείᾳ μελέτᾳ, ᾤχετ' ἰὼν,
μαντευσόμενος,
ταύτας πέρ ἀτλάτου πάθας.
ἁ δὲ φοινικόκροκον
ζώναν καταθηκαμένα,
κάλπιδά τ' ἀργυρέαν,
λόχμας ὑπὸ κυανέας,
τίκτε θεόφρονα κοῦρον.
τᾷ μὲν ὁ χρυσοκόμας πραΰμη-
τιν τ' Ἐλευθὼ συμπαρέστασέν τε μοίρας.

στροφὴ γ. κώ. ια.

ἦλθε δ' ὑπὸ σπλάγχνων ὑπ' ὠ-
δῖνός τ' ἐρατᾶς Ἴαμος
ἐς φάος αὐτίκα· τὸν μὲν κνιζομένα
λεῖπε χαμαί. δύο δὲ γλαυκῶπες αὐτὸν
δαιμόνων βουλαῖσιν ἐ-
θρέψαντο δράκοντες ἀμεμφεῖ
ἰῷ μελισσᾶν καδόμενοι. βασιλεὺς



cem primûm attigit venerem. Neque latuit AEpytum in omni tẽpore celans Dei semẽ. sed ipse Pythonem (in animo comprimẽs irã ineffabilem acri cura) abiit, oraculum cõsulturus de hoc intolerabili casu. Ipsa verò punicea trama intextã zonam deponens, urnámq; argenteam, dumos inter opacos peperit diuina mẽte præditũ puellum. Cui auricomus placidam Lucinam adstare fecit, & Parcas.* Prodiit igitur ex visceribus & partu amabili Iamus in lucẽ confestim: ipsum quidem dolore affecta reliquit humi: sed duo cæsiis oculis ipsũ, deorum voluntate, educarunt dracones inculpato veneno apum, curam adhibentes. Rex

δ' ἐπεὶ πετραέσσας ἐλαύνων ἵκετ' ἐκ
Πυθῶνος, ἅπαντας ἐν οἴκῳ
εἴρετο παῖδα τὸν Εὐάδνα τέκοι·
Φοίβου γὰρ αὐτὸν φᾶ γεγάκειν

ἀντιστρ. κῶ. ια.

πατρὸς· περὶ θνατῶν δ' ἔσ-
σεσθαι μάντιν ἐπιχθονίοις
ἔξοχον, οὐδέ ποτ' ἐκλείψειν γενεάν.
ὣς ἄρα μάνυε. τοὶ δ' οὔτ' ὦν ἀκοῦσαι,
οὔτ' ἰδεῖν εὔχοντο, πεμ-
πταῖον γεγενημένον. ἀλλ' ἐγ-
κέκρυπτο γὰρ σχοίνῳ, βατίᾳ τ' ἐν ἀπει-
ράτῳ, ἴων ξανθαῖσι καὶ παμπορφύροις
ἀκτῖσι βεβρεγμένος ἁβρὸν
σῶμα. τὸ, καὶ κατεφάμιξεν καλεῖ-
σθαί μιν χρόνῳ σύμπαντι μάτηρ

ἐπῳδὸς, κῶ. ιδ.

τοῦτ' ὄνυμ' ἀθάνατον. τερπνᾶς δ' ἐπεὶ
χρυσοστεφάνοιο λάβεν
καρπὸν ἥβας, Ἀλφεῷ μέσσῳ καταβαὶς
ἐκάλεσσε Ποσει-
δῶν' εὐρυβίαν ὃν πρόγονον,
καὶ τοξοφόρον
Δάλου θεοδμάτας σκοπὸν,



autem postquam petrosa equitans rediit ex Pythone, ab omnibus domi rogabat puerum quem Euadne peperisset: Phœbo enim ipsum dicebat genitum esse patre, supra mortales autem fore vatem terrestribus eximium, neque vnquam defecturam stirpem. Sic vtique indicabat. at illi neque audiuisse, neque vidisse dicebant [quum tamẽ iam] à quinque diebus natus esset. sed enim occultatus erat iunco rubóque in immenso, violarum flauis & omnino purpureis radiis madefactus tenerum corpus. Ideo & promulgauit vocari ipsum in omne tempus mater *hoc nomine immortali. Delectabilis autem postquam auro coronatæ accepit fructum pubertatis, in Alpheũ medium descẽdit, inuocauitq; Neptunum latè potentem, suum progenitorem, & arcitenentem Deli diuinitus conditæ præsidem,



Universidad de Deusto Biblioteca

αἰτέων λαοτρόφον
τιμάν τιν' ἑᾷ κεφαλᾷ,
νυκτὸς ὑπαίθριος. ἀν-
τεφθέγξατο δ' ἀρτιεπὴς
πατρία ὄσσα, μετάλλα-
σέν τέ μιν, ὄρσο τέκνον δεῦρο πάγ-
κοινον ἐς χώραν ἴμεν, φάμας ὄπισθεν.

στρο. δ. κῶ. ια.

ἵκοντο δ' ὑψηλοῖο πέ-
τραν ἀλίβατον Κρονίου.
ἔνθα οἱ ὤπασε θησαυρὸν δίδυμον
μαντοσύνας. τόκα μὲν φωνὰν ἀκούειν
ψευδέων ἄγνωστον, εὖ-
τ' ἂν θρασυμάχανος ἐλθὼν
Ηρακλέης, σεμνὸν θάλος Ἀλκαϊδᾶν,
πατρὶ ἑορτάν τε κτίσῃ πλειστόμβροτον,
τεθμόν τε μέγιστον ἀέθλων,
Ζηνὸς ἐπ' ἀκροτάτῳ βωμῷ, τότ' αὖ
χρηστήριον θέσθαι κέλευσεν.

ἀντιστρ. κῶ. ια.

ἐξ οὗ πολύκλειτον καθ' Ἕλ-
λανας γένος Ἰαμιδᾶν
ὄλβος ἅμ' ἕσπετο. τιμῶντες δ' ἀρετὰς
ἐς φανερὰν ὁδὸν ἔρχονται. τεκμαίρει



petens populi altorem honorem quempiam suo capiti, noctu sub dio. Respondit autem veridica paterna vox, quum quæsiuisset eum, Surge fili, huc communem in regionem vt venias, post vaticinium. * Venerunt igitur alti ad rupem excelsam Cronij, vbi ei dedit thesaurum duplicem diuinationis. tunc quidem vocem audire mendaciorum nesciam, quando audax machinator veniens Hercules (nobile germē Alcaïdarum) patri celebritatem institueret frequentissimam mortalibus, ritúmque maximum ludorum, Iouis in suprema ara, tunc oraculum collocare iussit. * Ex quo [ tempore ] inclytum inter Græcos genus Iamidarum diuitiæ comitatæ sunt. Qui autem colunt virtutes, in apertam viam veniunt. indicat

„ χρῆμ' ἕκαστον. μῶμος δ' ἐξ
„ ἄλλων κρέμαται φθονεόντων,
„ τοῖς οἷς ποτε πρώτοις περὶ δωδέκατον
„ δρόμον ἐλαυνόντεσσιν αἰδοία ποτι-
„ στάξῃ χάρις εὐκλέα μορφάν.
εἰ δ' ἐτύμως ὑπὸ Κυλλάνας ὄρος
Αγησία μάτρωες ἄνδρες

ἐπῳ. κώ. ιδ.

ναιετάοντες, ἐδώρησαν θεῶν
κάρυκα λιταῖς θυσίαις,
πολλὰ δὴ πολλαῖσιν Ερμᾶν εὐσεβέως·
ὃς ἀγῶνας ἔχει
μοῖράν τ' ἀέθλων, Αρκαδίαν
τ' εὐάνορα τι-
μᾷ· κεῖνος, ὦ παῖ Σωστράτου,
σὺν βαρυγδούπῳ πατρὶ,
κραίνει σέθεν εὐτυχίαν.
δόξαν ἔχω τιν' ἐπὶ
γλώσσᾳ ἀκόνας λιγυρᾶς,
ἅμ' ἐθέλοντα προσέλκει
καλλιρόοισι πνοαῖς. ματρομά-
τωρ ἐμὰ Στυμφαλὶς εὐανθὴς Μετώ- [πα,

ςρο. ε. κώ. ια.

πλάξιππον ἃ Θήβαν ἔτι-



autem opus quenque. vi- „
tuperatio autem ex aliis „
impendet inuidentibus „
eis quibus aliquandò pri- „
mùm ad duodecimum „
cursum agitantibus [ e- „
quos] veneranda adstillat „
gratia gloriosam formã. „
Si autem verè sub Cylle-
nes monte ô Agesia maio
res [tui] *habitantes do-
nauerunt deorum præco-
nem supplicibus sacrifi-
ciis frequenter multis
Mercurium piè: qui cer-
tamina gubernat sor-
témque præmiorum, Ar-
cadiámq; viris insignem
honorat: ille, ô fili So-
strati, cum grauistrepo
patre, perficit tuam feli-
citatem. Opinionem ha-
beo quandam in lingua
cotis acutæ, quæ me vo-
lentem attrahit pulchri-
fluos ad flatus. Auia mea
Stymphalis florida Me-
tope, * agitatricem equo
rum quæ Thebam pepe-

Universidad de Deusto Biblioteca

κτεν, τᾶς ἐρατεινὸν ὕδωρ
πίομαι, ἀνδράσιν αἰχματαῖσι πλέκων
ποικίλον ὕμνον. ὄτρυνον νῦν ἑταίρους
Αἰνέα, πρῶτον μὲν Ἥ-
ραν παρθενίαν κελαδῆσαι·
γνῶναί τ' ἔπειτ' ἀρχαῖον ὄνειδος ἀλα-
θέσιν λόγοις εἰ φεύγομεν, Βοιωτίαν
ὗν. ἐσσὶ γὰρ ἄγγελος ὀρθός,
ἠϋκόμων σκυτάλα μοισᾶν, γλυκὺς
κρατὴρ ἀγαφθέγκτων ἀοιδᾶν.

ἀντιστρ. κῶ. ια.

εἶπον δὲ μεμνᾶσθαι Συρα-
κουσᾶν τε καὶ Ὀρτυγίας,
τὰν Ἱέρων καθαρῷ σκάπτῳ διέπων,
ἄρτια μηδόμενος, φοινικόπεζαν
ἀμφέπει Δάματρα, λευ-
κίππου τε θυγατρὸς ἑορτὰν,
καὶ Ζηνὸς αἰτναίου κράτος. ἁδύλογοι
δέ μιν λύραι μολπαί τε γινώσκοντι.
θραύσοι χρόνος ὄλβον ἐφέρπων. [μὴ
σὺν δὲ φιλοφροσύναις εὐηράτοις
Ἀγησία δέξαιτο κῶμον,

ἐπῳδ. κῶλ. ιδ.

οἴκοθεν οἴκαδ' ἀπὸ Στυμφαλίων



rit, cuius amabilem aquam bibo, viris bellicosis nectẽs varium hymnum. Hortare nũc socios Ænea, primùm quidem Iunonem Partheniã vt celebrent, notúmq; faciant postea, antiquum probrũ veris rationibus an effugimus, Bœotiam suem. Es enim nuntius rectus, pulchricomarum scytale musarum, dulcis crater valde sonantium carminum. * Dic præterea [sociis] vt mentionẽ faciant Syracusarũ & Ortygiæ, quã Hieron sincero sceptro gubernans, recta in animo versans, rubripedem colit Cererem, & albos equos habentis filiæ festũ, & Iouis Ætnæi imperium. Suauiloquæ autem ipsum lyræ cantúsque cognoscunt. Ne frangat tempus adueniens felicitatem [eius]: sed cum comitate amabili excipiat Agesiæ hymnum, * de domo in domũ à Stymphaliis

τειχέων ποτινισόμενον,
ματέρ' εὐμήλοιο λείποντ' Ἀρκαδίας.
» ἀγαθαὶ δὲ πέλον-
» τ' ἐν χειμερίᾳ νυκτὶ θοᾶς
» ἐκ ναὸς ἀπε-
» σκίμφθαι δύ' ἄγκυραι. θεὸς
τῶνδε κείνων τε κλυτὰν
αἶσαν παρέχοι. φιλέων
δέσποτα ποντόμεδον,
εὐθὺν δὲ πλόον, καμάτων
ἐκτὸς ἐόντα δίδου, χρυ-
σαλακάτοιο πόσις Ἀμφιτρί- [θος.
τας ἐμῶν δ' ὕμνων ἄεξ' εὐτερπὲς ἄν-

ΔΙΑΓΟΡΑι ΡΟ-
δίῳ, πύκτῃ.

Εἶδος Ζ.

στροφὴ α. κῶ. ια.

ΦΙάλαν ὡς εἴ τις ἀ-
φνειᾶς ἀπὸ χειρὸς ἑλὼν.
ἔνδον ἀμπέλου καχλάζοι-
σαν δρόσῳ, δωρήσεται



mœnibus venientem, matrem pecorosæ relinquentem Arcadiæ. Vtiles autem »
sunt in tempestuosa nocte »
celeri ex naue dependere »
ad firmandum duæ ancoræ. »
Deus horum illorúmque illustrem sortem præbeat. [Tu] autem domine maris regnator amore prosequens, rectam nauigationem, quæ sit extra ærumnas, da, colum auream [gerentis] marite Amphitritæ: meorum autem hymnorum auge iucundum florem.

DIAGORAE
Rhodio pugili.

Ode VII.

PHialam vt siquis à diuite manusumptam, intus rore vuæ bullientem, donet

Universidad de Deusto Biblioteca

νεανίᾳ γαμβρῷ προπίνων,
οἴκοθεν οἴκαδε, πάγ-
χρυσον κορυφὰν κτεάνων,
συμποσίου τε χάριν, κᾶδός τε τιμά-
σαις ἑόν. ἐν δὲ φίλων
παρεόντων, θῆκέ μιν ζα-
λωτὸν ὁμόφρονος εὐνᾶς.

ἀντιστρ. κῶ. ια.

καὶ ἐγὼ νέκταρ χυτὸν,
μοισᾶν δόσιν, ἀθλοφόροις
ἀνδράσιν πέμπων, γλυκὺν καρ-
πὸν φρενός γ', ἱλάσκομαι,
Ὀλυμπίᾳ Πυθοῖ τε νικών-
» τεσσιν. ὁ δ' ὄλβιος ὃν
» φᾶμαι κατέχοντ' ἀγαθαί.
» ἄλλοτε δ' ἄλλον ἐποπτεύει χάρις ζω-
» θάλμιος, ἁδυμελεῖ
» θ' ἅμα μὲν φόρμιγγι, παμφώ-
» νοισί τ' ἐν ἔντεσιν αὐλῶν.

ἐπῳ. κῶ. ιγ.

καὶ νῦν ὑπ' ἀμφοτέρων
σὺν Διαγόρᾳ κατέβαν, τὰν ποντίαν
ὑμνέων παῖδ' Ἀφροδίτας
Ἀελίοιό τε νύμφαν



iuueni genero præbibens, è domo in domum, totum aureum verticem poſſeſſionum, conuiuijq; decus, affinitatémque honore proſequutus ſuam, amicíſque præſentibus, fecit eum beatum prædicari ob concordem thorum: [ſic] * & ego nectar fuſum (Muſarum donum) præmium reportantibus viris mittens apud Olympiam Pythonémque victoribus, ( dulcem fructum [ mei ] animi) exhilaro. Beatus autem ille »
quem fama amplectitur »
bona. Aliâs autẽ alium re- »
ſpicit gratia, floridam vi- »
tam [ præbens, ] blandi- »
ſona vnà cum cithara, o- »
mniſoníſque in inſtru- »
mentis tibiarum. * Et nunc cum ambobus cum Diagora deſcendi, marinam laudans filiam Veneris, Soliſque ſponſam

Universidad de Deusto
Biblioteca



Ῥόδον· εὐθυμάχαν
ὄφρα πελώριον ἄνδρα παρ' Ἀλ-
φειῷ στεφανωσάμενον
αἰνέσω, πυγμᾶς ἄποινα,
καὶ παρὰ Κασταλίᾳ,
πατέρα τε Δαμάγητον ἁδόντα δίκᾳ,
Ἀσίας εὐρυχώρου
τρίπολιν νᾶσον πέλας
ἐμβόλῳ ναίοντας, Ἀργείᾳ σὺν αἰχμᾷ.

στρο. β. κῶ. ια.

ἐθελήσω τοῖσιν ἐξ
ἀρχᾶς ἀπὸ Τλαπολέμου
ξυνὸν ἀγγέλλων διορθῶ-
σαι λόγον, Ἡρακλέος
εὐρυσθενεῖ γέννᾳ. τὸ μὲν γὰρ
πατρόθεν, ἐκ Διὸς εὔ-
χονται· τὸ δ' Ἀμυντορίδαι
» ματρόθεν, Ἀστυδαμείας. ἀμφὶ δ' ἀν-
» πων φρεσὶν ἀμπλακίαι [θρώ-
» ἀναρίθμητοι κρέμανται.
» τοῦτο δ' ἀμάχανον εὑρεῖν,

ἀντιστρ. κῶ. ια.

» ὅ,τι νῦν καὶ ἐν τελευ-
» τᾷ φέρτατον ἀνδρὶ τυχεῖν.



Rhodum: vt decantem in pugnam rectâ [ tendentem ] ingentis proceritatis virum iuxta Alpheum coronatum, pugilatus [ ad ] remunerationem: & apud Castaliam, patrémque Damagetum, qui placuit institiæ, Asiæ spatiosæ insulam trium vrbium habitantes, prope Embolum, Argiua cum multitudine. * Volam illis ab initio à Tlepolemo communem annuntians componere sermonem Herculis potenti stirpi. Nam à parte patris ex Ioue gloriantur: à parte autem matris Astydamiæ, Amyntoridæ sunt. Circa » autem hominum men- » tes errores innumeri pē- » dent. Hoc autem im- » possibile reperire, * quod » nunc optimum est ho- » mini, etiam in fine con- » sequi.

καὶ γὰρ Ἀλκμήνας κασίγνη-
τον νόθον, σκάπτῳ θένων
σκληρᾶς ἐλαίας, ἔκταν' ἐν Τί-]
ρυνθι Λικύμνιον, ἐλ-
θόντ' ἐκ θαλάμων Μιδίας,
τᾶσδέ ποτε χθονὸς οἰκιστὴρ χολωθείς.
„ (αἱ δὲ φρενῶν ταραχαὶ
„ παρέπλαγξαν καὶ σοφόν) μαν-
τεύσατο δ' ἐς θεὸν ἐλθών.

ἐπῳ. κω. ιγ.

τῷ μὲν ὁ χρυσοκόμας
εὐώδεος ἐξ ἀδύτου ναῶν, πλόον
εἶπε Λερναίας ἀπ' ἀκτᾶς
στέλλεν ἐς ἀμφιθάλασσον
νομόν· ἔνθά ποτε
βρέχε θεῶν βασιλεὺς ὁ μέγας
χρυσαῖς νιφάδεσσι πόλιν,
ἁνίχ' Ἁφαίστου τέχναισι
χαλκελάτῳ πελέκει,
πατέρος Ἀθαναία κορυφὰν κατ' ἄκραν
ἀνορούσαισ' ἀλάλα-
ξεν ὑπερμάκει βοᾷ.
οὐρανὸς δ' ἔφριξέ νιν καὶ γαῖα μάτηρ.



Nam Alcmenæ fratrem nothum sceptro percutiens duræ oleæ interfecit apud Tiryntha Licymnium, reuersum ex ædibus Mideæ, huius quondam terræ conditor iratus. (Mentis autem per- „
turbationes impellunt in „
errorem etiam sapien- „
tem.) Oraculum autem consuluit, ad deum quum venisset. * Huic quidem auricomus [deus] odorato ex adyto, nauium cursum dixit Lernæo à littore vt deduceret ad vtrinque mari cinctam regionem vbi quondam irrigauit deorum rex ille magnus aureis niuibus vrbem, quando Vulcani arte ex ære ducta bipenni Minerua vertice ex supremo patris prosiliens, vociferata est ingenti clamore: cælum autem horruit ipsam & terra parés.

στρο. γ. κῶ. ια.

τότε καὶ φαυσίμβροτος
δαίμων Ὑπεριονίδας
μέλλον ἔντειλε φυλάξα-
σθαι χρέος παισὶν φίλοις,
ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν
βωμὸν ἐναργέα, καὶ
σεμνὰν θυσίαν θέμενοι,
πατρί τε θυμὸν ἰάνειαν, κόρᾳ τ' ἐγ-
» χειβρόμῳ. ἐν δ' ἀρετὰν
» ἔβαλεν, καὶ χάρματ' ἀνθρώ-
» ποισι Προμαθέως αἰδώς.

ἀντιστροφὴ κῶ. ια.

» ἐπὶ μὰν βαίνει τι καὶ
» λάθας ἀτέκμαρτον νέφος,
» καὶ παρέλκει πραγμάτων ὀρ-
» θὰν ὁδὸν γ' ἔξω φρενῶν.
καί τοι γὰρ αἰθούσας ἔχοντες
σπέρμ' ἀνέβαν φλογὸς οὔ,
τεῦξαν δ' ἀπύροις ἱεροῖς,
ἄλσος ἐν ἀκροπόλει κείνοισι μὲν ξαν-
θὰν ἀγαγὼν νεφέλαν,
πολὺν ὗσε χρυσόν· αὐτὰ
δέ σφιν ὤπασε τέχναν



*Tunc & illuminator mortalium deus Hyperionides futuram mandauit obseruare necessitatē filiis charis, vt Deæ primi conderent aram conspicuam, & venerādo facto sacrificio, patríq; animum oblectarent, puellæque hastifremę. Virtutem autem iniecit & gaudia hominibus Prometheus venerandus:* sed superuenit quędam & obliuionis improuisa nubes, & auertit rerum rectam viam extra mentem. Ascenderunt enim Rhodij, quanuis ardentis non habentes semen ignis, templum in arce. Illis quidem flauam adducens nubem, multum pluit aurum. Ipsa autem illis præbuit [dea] cæsijs oculis in arte

ἐπῳ. κῶ. ιγ.

πᾶσαν ἐπιχθονίων

Γλαυκῶπις ἀριστοπόνοις χερσὶ κρατεῖν.

ἔργα δὲ ζωοῖσιν ἑρπόν-

τεσσί θ' ὁμοῖα κέλευθοι

φέρον. ἦν δὲ κλέος

» βαθύ. δαέντι δὲ καὶ σοφία

» μείζων ἄδολος τελέθει.

φαντὶ δ' ἀνθρώπων παλαιαὶ

ῥήσιες, οὔπω ὅτε

χθόνα δατέοντο Ζεύς τε καὶ ἀθάνατοι,

φανερὰν ἐν πελάγει

Ῥόδον ἔμμεν ποντίῳ·

ἁλμυροῖς δ' ἐν βένθεσι νᾶσον κεκρύ-

στρο. δ. κῶ. ια. [φθαι.

ἀπεόντος δ' οὔτις ἔν-

δειξεν λάχος ἀελίου·

καί ῥά μιν χώρας ἀκλάρω-

τον λίπον θ' ἁγνὸν θεόν·

μνασθέντι δὲ Ζεὺς ἄμπαλον μέλ-

λεν θέμεν. ἀλλά μιν οὐκ

εἴασεν· ἐπεὶ πολιᾶς

εἶπέ τιν' αὐτὸς ὁρᾶν ἔνδον θαλάσσας

αὐξομέναν πεδόθεν



* omni terrestres optimè laborantibus manibus superare. opera autem mortalibus gradientibus similia viæ [ vrbis ] ferebant. erat autẽ gloria ingens. Edocto autem & sapientia maior expers doli est. Narrant autem hominum prisci sermones, nondum quando terram partiebantur Iupiter & immortales, manifestam in profundo maris Rhodum fuisse, sed salsis in profunditatibus insulam occultatã fuisse. * Absentis autem nemo indicauit sortem Solis, & quidem regionis exortem reliquerant castum Deum. Recordato autem Iupiter resortitionem erat facturus, sed ipsi non permisit, quoniam cano dixit aliquam se videre in mari crescentem è fundo maris

Universidad de Deusto Biblioteca

πολύβοσκον γαῖαν ἀνθρώ-
ποισι, καὶ εὔφρονα μάλοις.
ἀντιστρ. κῶ. ια.
ἐκέλευσεν δ' αὐτίκα
χρυσάμπυκα μὲν Λάχεσιν
χεῖρας ἀνθεῖναι· θεῶν δ' ὅρ-
κον μέγαν μὴ παρφάμεν·
ἀλλὰ Κρόνου σὺν παιδὶ νεῦσαι,
φαεινὸν ἐς αἰθέρα μιν
πεμφθεῖσαν, ἑᾷ κεφαλᾷ
ἐξοπίσω γέρας ἔσσεσθαι. τελεύτα-
σαν δὲ λόγων κορυφαί,
ἐν ἀλαθείᾳ πετοῖσαι.
βλάστε μὲν ἐξ ἁλὸς ὑγρᾶς
ἐπῳ. κῶ. ιγ.
νᾶσος· ἔχει τέ μιν ὀ-
ξειᾶν ὁ γενέθλιος ἀκτίνων πατήρ,
πῦρ πνεόντων ἀρχὸς ἵππων.
ἔνθα Ῥόδῳ ποτὲ μιχθεὶς
τέκεν ἑπτὰ σοφώ-
τατα νοήματ' ἐπὶ προτέρων
ἀνδρῶν παραδεξαμένοις
παῖδας. ὧν εἷς μὲν Κάμειρον,
πρεσβύτατόν τε Ἰα-



multialtricem terram ho-
minibus & ſuauẽ pecudi-
bus. * Iuſſit igitur ſtatim
aureo redimitam reticu-
lo Lacheſin manus por-
rigere, deorúmque iuſiu-
randum magnum non
fallere, ſed cum Saturni
filio annuere, lucidum in
æthera ipſam emiſſam,
ſuo capiti in poſterum
præmium fore. Perfecta
autem fuerunt verborum
capita in veritate caden-
tia. Emerſit enim ex mari
humido inſula: obtinét-
que eam acutorum gene-
nerator radiorum pater,
ignem ſpirantium dux
equorum. Vbi Rhodo
[ nymphæ ] aliquando
mixtus genuit ſeptem li-
beros, qui ſapientiſſi-
mas cogitationes tem-
pore antiquorum viro-
rum acceperunt. quorum
vnus quidem Camirum,
& maximum natu Ia-

λυσὸν ἔτεκεν, Λίνδον τ'. ἀπάτερθε δ' ἔ-
διὰ γαῖαν τρίχα δασ- [χον,
σάμενοι, πατρωΐαν
ἀστέων μοῖραν· κέκληνται δέ σφιν ἕδραι.

στρο. ε. κῶ. ια.

τόθι λύτρον συμφορᾶς
οἰκτρᾶς γλυκὺ, Τλαπολέμῳ
ἵσταται Τιρυνθίων ἀρ-
χαγέτᾳ, ὥσπερ θεῷ,
μάλων τε κνισάεσσα πομπὰ,
καὶ κρίσις ἀμφ' ἀέθλοις·
τῶν ἄνθεσιν Διαγόρας
ἐστεφανώσατο δίς· κλεινᾷ τ' ἐν Ἰσθμῷ
τετράκις εὐτυχέων,
Νεμέᾳ τ' ἄλλαν ἐπ' ἄλλᾳ·
καὶ κρανααῖς ἐν Ἀθάναις.

ἀντιστρ. κῶ. ια.

ὅ, τ' ἐν Ἄργει χαλκὸς ἔ-
γνω μιν, τά τ' ἐν Ἀρκαδίᾳ
ἔργα, καὶ Θήβαις, ἀγῶνες·
τ' ἔννομοι Βοιώτιοι·
Αἴγινα, Πελλάνα τε, νικῶν-
θ' ἑξάκις· ἐν Μεγάροι-
σί τ' οὐχ ἕτερον λιθίνα



lysum genuit, Lindúmque. separatim autem habitabant, terram trifariam dispartiti, paternam vrbium sortem. vocatæ sunt autem ab illis sedes. *Ibi liberatio calamitatis miserandæ iucunda Tlepolemo cõstituitur Tirynthiorum duci, tanquam deo, ouiúmque nidore plena pompa, & iudicium de certaminibus, quorum floribus Diagoras coronatus fuit bis, inclytáque in Isthmo quater prospera vtens fortuna, in Nemeáq; aliam [coronam] super aliam, & asperis in Athenis. * & quod [datur] Argis æs nouit eum, Arcadiæque opera & Thebarum, certamináque legitima Bœotia: AEgina Pellenéque vincentem sexies. & apud Megara non aliud lapideus

Universidad de Deusto
Biblioteca



ψᾶφος ἔχει λόγον. ἀλλ' ὦ Ζεῦ πάτερ, νώ-
τοισιν Ἀταβυρίου
μεδέων, τίμα μὲν ὕμνου
τεθμὸν, ὀλυμπιονίκαν

ἐπῳ. κῶ. ιγ.

ἄνδρα τε, πὺξ ἀρετὰν
εὑρόντα. δίδοι τέ οἱ αἰδοίαν χάριν
καὶ ποτ' ἀστῶν καὶ ποτὶ ξεί-
νων· ἐπεὶ ὕβριος ἐχθρὰν
ὁδὸν εὐθυπορεῖ,
σάφα δαεὶς ἅ τε οἱ πατέρων
ὀρθαὶ φρένες ἐξ ἀγαθῶν
ἔχραον. μὴ κρύπτε κοινὸν
σπέρμ' ἀπὸ Καλλιάνα-
κτος, Ἐρατιδᾶν τοι σὺν χαρίτεσσιν. ἔχει
» θαλίας καὶ πόλις. ἐν
» δὲ μιᾷ μοίρᾳ χρόνου
» ἄλλοτ' ἀλλοῖαι διαιθύσσοισιν αὖραι.



nomen habet calculus. Sed ô Iupiter pater, cacumini Atabyrij dominans, honora hymni legem, olympiorúmque victorem * virum, pugilatu virtutem nactum: daque ei venerandam gratiam & à ciuibus & ab hospitibus, quia iniuriæ inimicam, viam rectà incedit, certò sciens & quæ ei patrum iustæ mẽtes proborum vaticinabantur. ne occultes notum passim genus à Callianacte, Eratidarum cum gratiis. Habet & ipsa vrbs festa conuiuia. In »
vna autem parte tem- »
poris aliâs aliæ in- »
gruunt auræ. »

Universidad de Deusto Biblioteca

## ΑΛΚΙΜΕΔΟΝΤΙ

παλαιστῇ, καὶ Τιμοσθένει παλαιστῇ, καὶ Μελησίᾳ ἀλείπτῃ.

### Εἶδος Η.

στροφὴ α, κῶ. θ.

Μᾶτερ ὦ χρυσοστεφάνων
ἀέθλων Ὀλυμπία,
δέσποιν' ἀλαθείας· ἵνα μάντιες ἄνδρες,
ἐμπύροις τεκμαιρόμενοι, παραπει-
ρῶνται Διὸς ἀργικεραύνου,
εἴ τιν' ἔχει λόγον ἀνθρώπων πέρι
μαιομένων μεγάλαν
ἀρετὰν θυμῷ λαβεῖν,
τῶν δὲ μόχθων ἀμπνοάν.

ἀντιστρ. κῶ. θ.

* ἄνεται δὲ πρὸς χάριν εὐ-
σεβέων ἀνδρῶν λιταῖς.
ἀλλ' ὦ Πίσας εὔδενδρον ἐπ' Ἀλφεῷ ἄλ-
τόνδε κῶμον καὶ στεφανοφορίαν [σος
δέξαι. μέγα τοι κλέος αἰεί



## ALCIMEDONTI

palæstritæ, & Timosstheni palæstritæ, & Melesiæ aliptæ.

### Ode VIII.

O Mater aureas coronas accipientium certaminum Olympia, domina veritatis, vbi vates victimis incensis explorãtes periculum faciunt [mentis] Iouis velociter fulminantis, siquam habeat rationem hominum quærentium magnam virtutem animo consequi, à laboribus autem respirationem. * Perficitur autem ad gratiam piorum virorũ supplicationibus. Sed ô Pisæ arboribus bene instructum nemus iuxta Alpheum, hunc hymnum & coronæ gestationem accipe. Magnum aliquod decus semper [adest ei]

" νῶϊν ἰσὸν γέρας ἕσπετ' ἀγλαόν.
" ἄλλα δ' ἐπ' ἄλλον ἔβαν
" ἀγαθῶν. πολλαὶ δ' ὁδοὶ
" σὺν θεοῖς εὐπραγίας.

ἐπῳ. κώ. ια.

Τιμόσθενες, ὔμμε δ' ἐκλάρωσεν πότμος
Ζηνὶ γενεθλίῳ· ὃς σὲ μὲν
ἐν Νεμέᾳ πρόφαντον·
Ἀλκιμέδοντα δὲ πὰρ Κρόνου λόφῳ
θῆκεν ὀλυμπιονίκαν.
ἦν δ' ἐσορᾶν καλὸς, ἔργῳ
τ' οὐ κατὰ εἶδος ἐλέγχων.
ἐξένεπε, κρατέων
πάλᾳ, δολιχήρετμον Αἴγιναν πάτραν·
ἔνθα σώτειρα Διὸς ξενίου
πάρεδρος ἀσκεῖται Θέμις,

στρο. β. κῶ. θ.

" ἔξοχ' ἀνθρώπων. ὅ, τι γὰρ
" πολὺ καὶ πολλᾷ ῥέπει, [ρὸν,
" ὀρθᾷ διακρίνειν φρενὶ, μὴ παρὰ και-
" δυσπαλές. τεθμὸς δέ τις ἀθανάτων
καὶ τάνδ' ἁλιερκέα χώραν
παντοδαποῖσιν ὑπέστασε ξένοις,
κίονα δαιμονίαν,



quem tuum præmium sequutum fuerit illustre. Ex bonis autem alia ad aliū proficiscuntur, multæque sunt viæ felicitatis cum diis. *Timosthenes, vos autem conciliauit fortuna Ioui generationis authori;: te quidem apud Nemeam conspicuum, Alcimedontem autem apud Saturni collem fecit Olympiorum victorem. Erat autem aspectu pulcher, re autem non formam dedecorans. Præconis voce promulgauit, quum vinceret lucta, longis remis [vtentem] Æginam patriam. vbi seruatrix, quæ Ioui hospitali assidet colitur iustitia, eximiè inter homines. Quod enim multum & multas [in partes] vergit, recta discernere mente non intempestiuè, difficile [est.] sed decretum quoddam immortalium & hanc mari cinctam regionē omnigenis subiecit hospitibus, columnā admirabilē,

(ὁ δ' ἐπαντέλλων χρόνος
τοῦτο πράσσων μὴ κάμοι)

ἀντιστρ. κῶλ. θ.

Δωριεῖ λαῷ ταμιευ-
ομέναν ἐξ Αἰακοῦ·
τὸν παῖς ὁ Λατοῦς, εὐρυμέδων τε Ποσ
Ἰλίῳ μέλλοντες ἐπὶ στέφανον. (δα
τεῦξαι, καλέσαντο συνεργὸν
τείχεος. ἦν ὅτι νιν πεπρωμένον,
ὀρνυμένων πολέμων
πτολιπόρθοις ἐν μάχαις,
λάβρον ἀμπνεῦσαι καπνόν.

ἐπῳ. κῶλ. ια.

γλαυκοὶ δὲ δράκοντες, ἐπεὶ κτίσθη, νέο
πύργον ἐσαλλόμενοι τρεῖς,
οἱ δύο μὲν κάπεσον,
αὖθι δ' ἀτυζομένω ψυχὰς βάλον·
εἷς δ' ἐσόρουσε βοάσαις.
ἔννεπε δ' ἀντίον ὁρμαί-
νων τέρας εὐθὺς Ἀπόλλων,
Πέργαμος ἀμφὶ τεαῖς
ἥρως χερὸς ἐργασίαις ἁλίσκεται.
ὡς ἐμοὶ φάσμα λέγει Κρονίδα
πεμφθὲν βαρυγδούπου Διός.



(ſubſequens autem tempus hoc faciendo non defatigetur) *Dorienſi populo gubernatam poſt Æacum, quem filius Latonæ & latè imperãs Neptunus, quum Ilium mœniis eſſent coronaturi, aduocauerunt cooperatorem muri. Erat quoniam fato decretum, ſurgentibus bellis, vrbium vaſtatricibus in pugnis, vehementem exhalaturum fumum. *Cęrulei autem dracones, poſtquam extructus fuit *murus*, nouam in turrim inſilientes tres, duo quidem ceciderunt: ibi autem turbati ſpiritus abiecerunt, at vnus irruit vociferatus. Dixit autem Apollo, inimicum animo voluens prodigium ſtatim, Pergamus circa tuas, ô heros, manus operationes capietur (ſic mihi oſtẽtum ſignificat, Saturnio miſſum grauiſtrepo à Ioue)

Universidad de Deusto Biblioteca

στροφὴ γ, κῶλ. θ.

οὐκ ἄτερ παίδων σέθεν· ἀλ-
λ' ἅμα πρώτοις ἄρξεται
καὶ τετράτοις. ὡς ἄρα θεὸς σάφα εἴπας,
Ξάνθον ἤπειγεν, καὶ Ἀμαζόνας εὐ-
ίπποις, καὶ ἐς Ἴστρον ἐλαύνων.
ὀρσοτρίαινα δ' ἐπ' Ἰσθμὸν ποντίαν
ἅρμα θοὸν τάνυεν,
ἀποπέμπων Αἰακὸν
δεῦρ' ἀν' ἵπποις χρυσέαις,

ἀντιστρ. κῶλ. θ.

καὶ Κορίνθου δειράδ', ἐπο-
ψόμενος δαῖτα κλυτάν.
„ τερπνὸν δ' ἐν ἀνθρώποις ἴσον ἔσσετ') οὐ-
εἰ δ' ἐγὼ Μελησίᾳ ἐξ ἀγενεί- (δέν.
ων κῦδος ἀνέδραμον ὕμνῳ,
μὴ βαλέτω με λίθῳ τραχεῖ φθόνος·
καὶ Νεμέᾳ γὰρ ὁμῶς
ἐρέω ταύταν χάριν,
τὰν δ' ἔπειτ' ἀνδρῶν μάχαν

ἐπῳδ. κῶλ. ια.

„ ἐν παγκρατίῳ. τὸ διδάξασθαι δέ τοι
„ εἰδότι ῥαΐτερον· ἄγνω-
μον δὲ, τὸ μὴ προμαθεῖν.



* non sine liberis tuis: sed simul cum primis incipiet & quartis. Sic Deus aperte loquutus ad Xanthum properabat, & Amazonas equis strenuas, & ad Istrũ equitans. at tridentis impulsor in Isthmũ marinum, currũ velocẽ incitabat, dimittens Æacũ huc cum equis aureis, *& Corinthi iugũ, inspecturus conuiuiũ celebre. Delectabile autẽ inter homines „
æqualiter nihil fuerit. „
Quare si ego Melesię ad gloriã [quã nactus est iã] ab imberbibus [annis], recurrerim hymno, ne petat me lapide aspero inuidia. & apud Nemeã enim similiter dicã hoc ornamẽtũ, & postea virorũ pugnã *
in Pãcratio. Docere autẽ, perito facile: at stul- „
tum, non prędidicisse. „

" κουφότεραι γὰρ ἀπειράτων φρένες.
κεῖνα δὲ κεῖνος ἂν εἴποι
ἔργα περαίτερον ἄλλων,
τίς τρόπος ἄνδρα προβάσει
ἐξ ἱερῶν ἀέθλων
μέλλοντα ποθεινοτάταν δόξαν φέρειν.
νῦν μὲν αὐτῷ γέρας Ἀλκιμέδων,
νίκαν τριακοστὰν ἑλών.

στροφὴ δ. κῶλ. θ.

ὃς τύχᾳ μὲν δαίμονος, ἀ-
νορέας δ' οὐκ ἀμπλακών,
ἐν τέτρασι παίδων ἀπεθήκατο γυίοις
νόστον ἔχθιστον, καὶ ἀτιμοτέραν
γλῶσσαν, καὶ ἐπίκρυφον οἶμον·
πατρὶ δὲ πατρὸς ἐνέπνευσεν μένος
γήραος ἀντίπαλον·
" αἴδα τοι λάθεται,
" ἀρμόδια πράξαις ἀνήρ.

ἀντιστροφὴ κῶλ. θ.

ἀλλ' ἐμὲ χρὴ μναμοσύναν
ἀνεγείροντα, φράσαι
χειρῶν ἄωτον Βλεψιάδαις ἐπίνικον,
ἕκτος οἷς ἤδη στέφανος περίκει-
ται φυλλοφόρων ἀπ' ἀγώνων.



leuiores enim inexperto-"
rum mentes. Illa autem ille "
dixerit opera vlterius cæte-
ris, quis modus virum pro-
mouebit, ex sacris certa-
minibus desideratissimam
gloriam reportaturum.
Nunc quidem ipsi decus
est Alcimedon, victoriam
tricesimam adeptus. * Qui
fauore quidem Dei, forti-
tudine tamen non frustra-
tus, in quatuor puerorum
deposuit membris reditum
inuisissimum, & ignomi-
niosam magis linguam, &
occultam viam. patri autem
patris inspirauit robur se-
nectutis aduersarium. Orci "
nimirum obliuiscitur vir "
qui conuenientia fecit. * "
Sed me oportet memoriam
excitantem eloqui ma-
nuum florem Blepsiadis vi-
ctorialem hymnum: sex-
ta quibus iam corona cir-
composita est frondiferis
ex certaminibus.

Universidad de Deusto Biblioteca



ἔστι δὲ καί τι θανόντεσσιν μέρος,
κἂν νόμον ἐρδόμενον.
κατακρύπτει δ' οὐ κόνις
συγγόνων κεδνὰν χάριν.

ἐπῳδ. κώλ. ια.

Ἑρμᾶ δὲ θυγατέρος ἀκούσαις Ἰφίων
Ἀγγελίας, ἐνέποι κεν
Καλλιμάχῳ λιπαρὸν
κόσμον Ὀλυμπίᾳ, ὅν σφιν ὤπασε
Ζεὺς γένει· ἐσλὰ δ' ἐπ' ἐσλοῖς
ἔργα θέλοι δόμεν, ὀξεί-
ας δὲ νόσους ἀπαλάλκοι·
εὔχομαι ἀμφὶ καλῶν
μοίρᾳ νέμεσιν διχόβουλον μὴ θέμεν·
ἀλλ' ἀπήμαντον ἄγων βίοτον,
αὐτούς τ' ἀέξοι καὶ πόλιν.

## ΕΦΑΡΜΟΣΤΩ
## Ὀπουντίῳ, παλαιστῇ.
## Εἶδος Θ.

στροφὴ α, κώλων. ιε.

ΤΟ μὲν Ἀρχιλόχου μέλος
φωνᾶεν Ὀλυμπίᾳ.



Est enim & mortuis pars legitima quæ fit: occultátque nequaquam puluis cognatorum illustrem gratiam. * Mercurij autẽ filiam vbi audierit Iphiõ Nuntiationem, indicet Callimacho splendidum ornatum *qui obuenit* apud Olympiã, quẽ præbuit Iupiter ipsorũ generi. Bona autẽ super bonis opera velit dare, acrésque morbos propulset. Opto de bonorum fatali prouentu Nemesin contraria cogitantem non immittere: sed damnorũ expertem afferẽs vitam, ipsósque amplificet & vrbem.

## EPHARMOsto Opuntio, palæstritæ.
## Ode IX.

ARchilochi quidem carmen sonans apud Olympiam,

καλλίνικος ὁ τρίπλοος κεχλάδως,
ἄρκεσε Κρόνιον παρ' ὄ-
χθον ἁγεμονεῦσαι
κωμάζοντι φίλοις Ἐφαρ-
μόστῳ σὺν ἑταίροις.
ἀλλὰ νῦν ἑκαταβόλων
Μοισᾶν ἀπὸ τόξων,
Δία τε φοινικοστερόπαν,
σεμνόν τ' ἐπίνειμαι
ἀκρωτήριον Ἄλιδος,
τοιοῖσδε μέλεσσι·
τὸ δήποτε Λυδὸς ἥρως
Πέλοψ ἐξάρατο κάλλι-
στον ἕδνον Ἱπποδαμείας.

ἀντιστρ. κῶλ. ιϛ.

πτερόεντα δ' ἵει γλυκὺν
Πυθῶνα δ' οἰστόν. οὔ-
τοι χαμαιπετέων λόγων ἐφάψῃ,
ἀνδρὸς ἀμφὶ παλαίσμασι
φόρμιγγ' ἐλελίζων,
κλεινᾶς ἐξ Ὀπόεντος, αἰ-
νήσαις ἑ καὶ υἱόν,
ἃν Θέμις, θυγάτηρ τέ οἱ
σώτειρα λέλογχε.



Callinicus, ter acclamatum, satis fuit Saturnium apud collem vt præiret saltanti Epharmosto amicis cũ sociis. Sed nunc longè iaculãtibus Musarum ab arcubus, Iouémque fulmine rubentem, augustúmque impartire promontorium Elidis huiusmodi carminibus: quod quondam Lydus heros Pelops adeptus est, pulcherrimam dotem Hippodamiæ. Alatam autem mitte dulcem ad Pythonem sagittam. non humi serpentes sermones attinges, viri de luctis citharam mouens clara ex Opunte, laudes eam & filium *eius*. quam Themis & filia eius seruatrix sortita est.

Universidad de Deusto Biblioteca

μεγαλόδοξος Εὐνομία.
θάλλει δ' ἀρεταῖς ἴ-
σον τε Κασταλίᾳ, παρ' Ἀλ-
φεοῦ τε ῥέεθρον.
ὅθεν στεφάνων ἄωτοι
κλυτὰν Λοκρῶν ἐπαείρον-
τι ματέρ' ἀγλαόδενδρον.

ἐπῳ. κῶλ. ι.

ἐγὼ δέ τι φίλαν πόλιν
μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς,
καὶ ἀγάνορος ἵππου θᾶσσον,
καὶ ναὸς ὑποπτέρου, παντᾷ
ἀγγελίαν πέμψω ταύταν,
εἰ σύν τινι μοιριδίῳ παλάμᾳ
ἐξαίρετον χαρίτων νέμομαι
κᾶπον. κεῖναι γὰρ ὤπασαν
» τὰ τέρπν'. ἀγαθοὶ δὲ
» καὶ σοφοὶ κατὰ δαίμον' ἄνδρες

στροφὴ β. κῶλ. ιε.

» ἐγένοντο. ἐπεὶ ἐναν-
τ' ἂν πῶς τριόδοντος Ἡ-
ρακλέης σκύταλον τίναξε χερσὶν,
ἀνίκ' ἀμφὶ Πύλον σταθεὶς
ἤρειδε Ποσειδᾶν,



magni nominis Eunomia. floret autem strenuitate æqualiter apud Castaliam, Alpheíque apud fluentū: vnde coronarum flores inclytā Locrorum extollunt matrē, pulchrarum arborum *feracem.* *Ego autem charam vrbem claris illustrās carminibus, & feroci equo citius & naue alata quoquouersum nuntium mittam hoc, si modo fatali auxilio eximium gratiarū decerpo hortum: illę enim præbēt iucunda. strenui autē «
viri & sapientes per «
diuinam sortem*exi- «
stunt. Alioqui quomodo aduersus tridentem Neptuni Hercules clauam vibrasset manibus, quando circa Pylum constitutus resistebat Neptunus,

Universidad de Deusto Biblioteca



ἤρειδεν τέ μιν ἀργυρέῳ
τόξῳ πολεμίζων
Φοῖβος. οὐδ' Ἀΐδας ἀκι-
νήταν ἔχε ῥάβδον,
βρότεα σώμαθ' ᾇ κατάγει
κοίλαν πρὸς ἀγυιὰν
θνασκόντων. ἀπό μοι λόγον,
τοῦτον στόμα ῥῖψον·
» ἐπεὶ τό γε λοιδορῆσαι
» θεοὺς, ἐχθρὰ σοφία· καὶ
» τὸ καυχᾶσθαι παρὰ καιρὸν,
ἀντιστρ. κῶλ. ιϛ.
» μανίαισιν ὑποκρέκει.
μὴ νῦν λαλάγει τὰ τοι-
αῦτ'· ἔα πόλεμον μάχαν τε πᾶσαν,
χωρὶς ἀθανάτων. φέροις
δὲ Πρωτογενείας
ἄστει γλῶσσαν, ἵν' αἰολο-
βρόντα Διὸς αἴσᾳ
Πύρρα Δευκαλίων τε Παρ-
νασσοῦ καταβάντε,
δόμον ἔθεντο πρῶτον· ἄτερ
δ' εὐνᾶς, ὁμόδαμον
κτισσάσθαν λίθινον γόνον.



quum item resistebat
ipsum argenteo arcu
oppugnans Phœbus.
nec Pluto immotam
habebat virgam, mor
talia corpora qua de-
ducit cauum ad vicum
morientiũ. Mihi hunc
sermonem abiice os.
nam conuiciari diis, «
odiosa *est* sapientia, & «
gloriari intempesti- «
uè, * insaniis conso- «
nat. Ne nunc stridas «
talia. omitte bellum
pugnámque omnem
seorsum à diis. Con-
uertas autem ad Pro-
togeniæ vrbem lin-
guam, vbi velociter
fulminantis Iouis im-
perio Pyrrha Deuca-
liónque Parnasso quũ
descendissent, sedes
collocarunt primas,
& absque concubitu,
eiusdem generis com-
parauerunt lapideam
fœturam.

Universidad de Deusto Biblioteca

λαοὶ δ᾽ ὀνόμασθεν.
ἔγειρ᾽ ἐπέων σφὶν οἶμον.
λιγὺν αἴνει δὲ παλαιὸν
μὲν οἶνον, ἄνθεα δ᾽ ὕμνων

ἐπῳδ. κῶλ. ι.

νεωτέρων. λέγοντι μὰν
χθόνα μὲν κατακλύσαι μέλαιναν
ὕδατος σθένος· ἀλλὰ Ζηνὸς
τέχναις ἀνάπωσιν ἐξαίφνας
ἄντλον ἑλεῖν. κείνων δ᾽ ἔσαν
χαλκάσπιδες ὑμέτεροι πρόγονοι,
ἀρχᾶθεν Ἰαπετιονίδος
φύτλας κοῦροι, κορᾶν τε φερ-
τάτων Κρονιδᾶν, ἐγ-
χώριοι βασιλῆες αἰεί.

στροφὴ γ. κῶλ. ιε.

πρὶν ὀλύμπιος ἁγεμὼν
τὰν παῖδ᾽ ἀπὸ γᾶς Ἐπει-
ῶν Ὀπώεντος ἀναρπάσαις ἕκαλος,
μίχθη Μαιναλίαισιν ἐν
δειραῖς, καὶ ἔνεικε
Λοκρῷ μὴ καθέλοι μιν αἰ-
ὼν, πότμον ἐφάψαις,
ὀρφανὸν γενεᾶς. ἔχε



λαοὶ autē appellati fuerūt. Excita carminum ipsis viam canoram, lauda autē vetus quidem vinum, flores autē hymnorū recentiorū. Aiunt porrò terrā quidem obruisse nigram aquæ robur, sed Iouis solertia refluxū repētè exundationem cepisse. Ex illis autem erant æreis clypeis instructi vestri maiores, ab initio Iapetionidis stirpis filij, filiarúmque præstantissimarum Saturnij, indigenæ reges sēper. *Quōdam Olympi dux filiam Opuntis è terra Epeorum quum subripuisset tacitus, mixtus est ἐν Mænaliis in iugis, & reduxit ad Locrum, ne auferret eum æuum mortem inducens, expertem prolis. habebat

δὲ σπέρμα μέγιστον
ἄλοχος. εὐφράνθη τε ἰδὼν
ἥρως θετὸν υἱόν·
μάτρωος δ᾽ ἐκάλεσσέ μιν
ἰσώνυμον ἔμμεν,
ὑπέρφατον ἄνδρα μορφᾷ
τε καὶ ἔργοισι· πόλιν δ᾽ ὤ-
πασεν λαῶν τε διαιτᾶν.

ἀντιστρ. κώ. ις.

ἀφίκοντο δὲ οἱ ξένοι
ἔκ τ᾽ Ἄργεος, ἔκ τε Θη-
βᾶν· οἱ δ᾽ Ἀρκάδες, οἱ δὲ καὶ Πισᾶται·
υἱὰ δ᾽ Ἄκτορος ἐξόχως
τίμασεν ἐποίκων,
Αἰγίνας τε, Μενοίτιον.
τοῦ παῖς ἅμ᾽ Ἀτρείδαις
Τεύθραντος πεδίον μολὼν,
ἔστα σὺν Ἀχιλλεῖ
μόνος, ὅτ᾽ ἀλκάεντας Δαναοὺς
τρέψαις ἁλίαισι
πρύμναις Τήλεφος ἔμβαλεν.
ὥστ᾽ ἔμφρονι δεῖξαι
μαθεῖν Πατρόκλου βιατὰν
νόον γ᾽. ἐξ οὗ Θέτιος γό-



autem semen generosissimum vxor, gauisúsq. est intuitus heros suppositi-tium filium. vocauit autem eum ita vt cognominis esset aui materni, excellentem supra quam dici possit forma & factis, vrbem autem dedit populúmque regere. *Accesserunt igitur hospites ex Argo, & ex Thebis, & Arcades, itémque Pisatæ: sed filium Actoris Æginæq; Menœtium maximè inter incolas honorauit: cuius filius cum Atridis Teuthrãtis in campum profectus, stetit *in acie* cum Achille solus, quando strenuos Danaos in fugã postquam vertisset marinas ad puppes Telephus compulit. ita vt prudenti præberet cognoscendã Patrocli strenuam mentem. Ex quo Thetidis pro-



Universidad de Deusto Biblioteca

νος οὐλίῳ μὲν ἐν ἄρει

ἐπῳδ. κῶλ. ι.

παραγορεῖτο, μή ποτε
σφετέρας ἄτερθε ταξιοῦσθαι
δαμασιμβρότου αἰχμᾶς. εἴην
εὑρησιεπὴς ἀναγεῖσθαι
πρόσφορος ἐν μοισᾶν δίφρῳ.
τόλμα δὲ καὶ ἀμφιλαφὴς δύναμις
ἕσποιτο. προξενίᾳ δ' ἀρετᾷ
τ' ἦλθον τιμάορος Ἰσθμίαι-
σι Λαμπρομάχου μί-
τραις· ὅτ' ἀμφότεροι κράτησαν

στρο. δ. κῶλ. ιε.

μίαν ἔργον ἀν' ἁμέραν.
ἄλλαι δὲ δύ' ἐν Κορίν-
θου πύλαις ἐγένοντ' ἔπειτα χάρμαι.
ταὶ δὲ καὶ Νεμέας Ἐφαρ-
μόστῳ κατὰ κόλπον,
Ἄργει τ' ἔσχεθε κῦδος ἀν-
δρῶν, παῖς δ' ἐν Ἀθάναις.
οἷον δ' ἐν Μαραθῶνι συ-
λαθεὶς ἀγενείων,
μένεν ἀγῶνα πρεσβυτέρων
ἀμφ' ἀργυρίδεσσι·



les pernicioso ipsum in bello * hortabatur, nunquam absque sua in acie stare hasta mortalium domitrice. *Vtinam* sim excogitator verborum, ad narrandum commodus in Musarum curru: audacia quoque & ampla facultas consequatur. Ob hospitalitatem autem & virtutem accessi celebrator Isthmiacis Lampromachi coronis: quando ambo *eiusdem* incepti compotes euaserunt * eodem die. Alia autem duo in Corinthi portis contigerunt postea gaudia, alia autem & Nemeæ in sinu Epharmosto. Argisque obtinuit decus virilis ætatis, puer autem Athenis. Qualiter autem apud Marathonem quum subduxisset se ab imberbibus, sustinebat certamen seniorum de argenteis phialis:

φῶτας δ' ὀξυρεπεῖ δόλῳ
ἀπτῶτι δαμάσαις,
διήρχετο κύκλον, ὅσσα
βοᾷ, ὡραῖος ἐὼν καὶ
καλὸς, κάλλιστά τε ῥέξαις.

ἀντιστρ. κῶλ. ιε.

τὰ δὲ Παῤῥασίῳ στρατῷ
θαυμαστὸς ἐὼν φάνη,
Ζηνὸς ἀμφὶ πανάγυριν Λυκαίου·
καὶ ψυχρᾶν ὁπότ' εὐδια-
νὸν φάρμακον αὐρᾶν
Πελλάνᾳ φέρε. σύνδικος
δ' αὐτῷ Ἰολάου
τύμβος, ἐνναλία τ' Ἐλευ-
σὶς ἀγλαΐαισι.
„ τὸ δὲ φυᾷ, κράτιστον ἅπαν·
„ πολλοὶ δὲ διδακταῖς
„ ἀνθρώπων ἀρεταῖς κλέος
„ ὤρουσαν ἑλέσθαι.
„ ἄνευ δὲ θεοῦ, σεσιγα-
„ μένον γ' οὐ σκαιότερον χρῆ-
„ μ' ἕκαστον. ἐντὶ γὰρ ἄλλαι

ἐπῳ. κῶλ. ι.

ὁδῶν ὁδοὶ περαίτεραι·



virósque celeri dolo la-
psũ carente quum do-
muiſſet, pertrãſibat cir
culum, quanto *dij bo-
ni* cum clamore, ſpe-
cioſus exiſtens & deco
rus, pulcherrimáq. o-
peratus! * In iis autem
quæ *facta ſunt* Par-
rhaſio in exercitu, ad-
mirãdus eſſe apparuit,
Iouis in panegyrica ce-
lebritate Lycæi: & fri-
gidorũ quãdo propul-
ſatoriũ remediũ vẽto-
rũ apud Pellenẽ retulit.
Teſtis *eſt* Iolai tumulꝰ,
maritimáque Eleuſis
ſplendidis ipſius factis. »
Quod à natura eſt, opti- »
mũ omne. multi tamen »
hominũ partis diſcipli- »
na virtutibꝰ ad laudem »
prodierũt aſſequẽdam: »
ſed *quæ* abſq; deo ſi ta- »
cita fuerit, nõ deterior »
res *eſt* quælibet. *Sũt e- »
nim aliæ viæ aliis tran- »
ſitu faciliores.

Universidad de Deusto Biblioteca



α μία δ᾽ οὐχ ἅπαντας ἄμμε θρέψει
α μελέτα· σοφίαι μὲν αἰπει-
ναί· τοῦτο δὲ προσφέρων ἆθλον,
ὄρθιον ὤρυσαι θαρσέων,
τόνδ᾽ ἀνέρα δαιμονίως γεγάμεν,
εὔχειρα, δεξιόγυιον, ὁρῶν-
τ᾽ ἀλκάν. Αἰάντειόν γε δαι-
τὸς τ᾽ Ἰλιάδα νι-
κῶν ἐπεστεφάνωσε βωμόν.

## ΑΓΗΣΙΔΑΜΩ
### Λοκρῷ Ἐπιζεφυρίῳ, παιδὶ, πύκτῃ.
### Εἶδος Ι.

στροφὴ α, κῶλ. η.

ΤΟν ὀλυμπιονίκαν ἀνάγνωτέ μοι
Ἀρχεστράτου παῖδα, πόθι φρενὸς
ἐμᾶς γέγραπται. γλυκὺ γὰρ αὐτῷ
μέλος ὀφείλων ἐπιλέλαθ᾽. ὦ
Μοῖσ᾽ ἀλλὰ σὺ, καὶ θυγάτηρ
Ἀλάθεια Διός,
ὀρθᾷ χειρὶ ἐρύκετον ψευδέων



vnicum autẽ nõ omnes nos alet studium. sapientiæ quidem arduæ. Hoc autem afferens præmium, altè vociferare audacter, hunc virum diuinum ortum habere, præstantem manibus, dexteritatẽ in membris habentem, aspectu Martio præditum, qui Aiacis *Oilidæ* vincens coronauit aram festis dapibus.

## AGESIDAMO
### Locro Epizephyrio, puero, pugili.
### Ode X.

OLympiorum victorẽ redigite mihi in memoriam Archestrati filium, qua in parte mentis meæ scriptus sit. dulce enim illi melos debere oblitus sum. Sed tu ô Musa & filia Iouis Veritas, recta manu arcete mendaciorum

Universidad de Deusto Biblioteca

ἐνιπὰν ἀλιτόξενον.

ἀντισρ. κῶλ. ια.

ἕκαθεν γὰρ ἐπελθὼν ὁ μέλλων χρόνος,
ἐμὸν καταίσχυνε βαθὺ χρέος.
ὅμως δὲ λῦσαι δυνατὸς ὀξεῖ-
αν ἐπιμομφὰν ὁ τόκος ἀνδρῶν·
νῦν ψᾶφον ἑλισσομέναν,
ὅπα κῦμα κατα-
κλύσσει ῥέον· ὅπα τε κοινὸν λόγον
φίλαν τίσομεν ἐς χάριν.

ἐπῳδ. κῶλ. θ.

νέμει γὰρ ἀτρέκεια πόλιν Λοκρῶν
Ζεφυρίων, μέλει τέ σφισι Καλλιόπα,
καὶ χάλκεος Ἄρης. τράπε δὲ Κυκνεία
μάχα καὶ ὑπέρβιον Ἡρακλέα. πύκτας
δ' ἐν Ὀλυμπιάδι νικῶν Ἴλᾳ φερέτω
χάριν
Ἁγησίδαμος, ὡς Ἀχιλλεῖ Πάτροκλος.
« θήξαις δέ κε φύντ' ἀρετᾷ ποτὶ
« πελώριον ὥρμασε κλέος ἀ-
« νὴρ, θεοῦ σὺν παλάμᾳ.

στρο. β. κῶλ. η.

« ἄπονον δ' ἔλαβον χάρμα παῦροί τινες,
« ἔργων πρὸ πάντων, βιότῳ φάος.



reprehensionem ob admissum in hospitem peccatũ. *A longo enim interuallo superueniens tẽpus quod futurũ expectabatur, meum dedecorauit magnũ debitum. Sed tamẽ soluere potest vsura celerẽ vituperationem hominum. Nunc *videamus* quo pacto calculũ qui voluitur *in littore* fluctus obruet erumpens, & quomodo communem hymnum amicam persoluemus ad gratiã. *Regit enim veritas vrbem Locrorum Zephyriorum, & curæ est ipsis Calliope, & æreus Mars. Fugauit porrò Cygnea pugna etiam Herculem supramodum violentum. Pugiles verò in Olympia deuincens Agesidamus, gratiam habeat Hylæ, vt Achilli Patroclus. Acuens autem virũ virtute *alius* vir, ad ingens euexit decus, dei cum auxilio. * at laborum expers acceperũt gaudium pauci aliqui, operibus præ omnibus, vitæ lumen. »

Universidad de Deusto Biblioteca

ἀγῶνα δ' ἐξαίρετον ἀεῖσαι
θέμιτες ὦρσαν Διός, ὃν ἀρχαί-
ῳ σάματι πὰρ Πέλοπος,
βίη Ἡρακλέος
ἐκτίσατο, ἐπεὶ Ποσειδάνιον
πέφνε Κτέατον ἀμύμονα·

ἀντιστρ. κῶ. η.

πέφνε δ' Εὔρυτον· ὡς Αὐγέαν λάτριον
ἄκονθ' ἑκὼν μισθὸν ὑπέρβιον
πράσσοιτο. λόχμαισι δὲ δοκεύσαις
ὑπὸ Κλεωνᾶν, δάμασε καὶ κεί-
νους Ἡρακλέης ἐφ' ὁδῷ.
ὅτι πρόσθε ποτὲ
Τιρύνθιον ἔπερσαν αὐτῷ στρατὸν
μυχοῖσιν ἄμμενον Ἄλιδος

ἐπῳδ. κῶλ. θ.

Μολίονες ὑπερφίαλοι. καὶ μὰν
ξεναπάτας Ἐπειῶν βασιλεὺς ὄπιθεν
οὐ πολλὸν, ἴδε πατρίδα πολυκτέανον
ὑπὸ στερεῷ πυρὶ πλαγαῖς τε σιδάρου
βαθὺν εἰς ὀχετὸν ἄτας ἵζοισαν ἑὰν πόλιν.
« νεῖκος δὲ κρεσσόνων ἀποθέσθ' ἄπορον.
καὶ κεῖνος ἀβουλίᾳ, ὕστατος
ἁλώσιος ἀντήσαις, θάνατον
αἰπὺν οὐκ ἐξέφυγεν.



Certamẽ autem eximium canere iura incitarunt Iouis, quod antiquum iuxta sepulchrum Pelopis Herculea vis constituit, quum Neptunium interfecisset Cteatum inculpatum: *interfecisset etiã Eurytum, vt à supramodum violento Augea nolente volens famularem mercedem exigeret. In saltibus autem insidiatus sub Cleonis, domuit & illos Hercules in via, quoniam anteà aliquando Tyrinthium profligauerant ipsi exercitum in recessibus sedentem Elidis *Moliones arrogãtissimi. Sed enim deceptor hospitum rex Epeorum non multo pòst vidit patriam possessionibus abundantem sub valido igni, ictibusque ferri profundo gurgite calamitatis sedentem suã ciuitatem. Contentionem e- «
nim [susceptam aduersus] po- «
tẽtiores deponere difficile est. «
& ille temeritate postremus expugnationis obuius factus, mortem grauem non effugit.

Universidad de Deusto
Biblioteca



στροφ. γ. κῶλ. η.

ὁ δ' ἄρ' ἐν Πίσᾳ ἔλσαις ὅλον τε στρατὸν,
λείαν τε πᾶσαν Διὸς ἄλκιμος
υἱὸς, σταθμᾶτο ζάθεον ἄλσος
πατρὶ μεγίστῳ. περὶ δὲ πάξαις
ἄλτιν μὲν ὅγ' ἐν καθαρῷ
διέκρινε· τὸ δὲ
κύκλῳ πέδον, ἔθηκε δόρπου λύσιν,
τιμάσαις πόρον Ἀλφεοῦ,

ἀντιστρ. κῶλ. η.

μετὰ δώδεκ' ἀνάκτων θεῶν· καὶ πάγον
Κρόνου προσεφθέγξατο. πρόσθε γὰρ
νώνυμνος, ἇς Οἰνόμαος ἆρχε,
βρέχετο πολλᾷ νιφάδι. ταύτᾳ
δ' ἐν πρωτογόνῳ τελετᾷ
παρέσταν μὲν ἄρα
« μοῖραι σχεδὸν, ὅ, τ' ἐξελέγχων μόνος
« ἀλάθειαν ἐτήτυμον

ἐπῳ. κῶλ. θ.

« χρόνος· τὸ δὲ σαφανὲς ἰὼν πόρσω
κατέφρασεν, ὅπα τὰν πολέμου τε δόσιν
ἀκρόθινα διελὼν ἔθυε, καὶ πεντα-
ετηρίδ' ὅπως ἄρα ἔστασεν ἑορτὰν,
ἐν ὀλυμπιάδι πρώτᾳ, νικαφορίαισί τε.



*Ille itaque Iouis strenuus filius contracto in Pisa vniuerso exercitu, prædáque omni, metiebatur diuinum lucum Patri maximo. quum autem circunsepsisset templum quidem in puro *loco* separauit: aream autem quæ in circuitu, fecit cœnæ diuersorium, honore prosequutus meatum Alphei* cum duodecim regibus diis, & collem Saturni appellauit. Antea enim ingloria, cui Oenomaus imperabat, rigabatur multa niue, hac autē in primo nata celebritate affuerūt Parcæ propè, & quod prodit solùm veritatē certā *tempus: certitudinémq; procedēs vltrà enarrauit, vbi belli munus spolia partitus immolasset, & quinquennalē quomodo instituisset celebritatem, in Olympiade prima, victoriæque adeptionibus.

τίς δὴ ποταίνιον γε λάχε στέφανον,
χείρεσσι ποσίν τε καὶ ἅρμασιν
ἀγώνιον, ἐν δόξᾳ θέμενος,
εὖχος ἔργῳ καθελών.

στρο. δ΄. κῶλ. η.

στάδιον μὲν ἀρίστευσεν εὐθύτονον
ποσὶ τρέχων παῖς ὁ Λικυμνίου
Οἰωνός. ἷκεν δὲ Μιδέαθεν
στρατὸν ἐλαύνων, ὁ δὲ πάλᾳ κυ-
δαίνων Ἔχεμος Τέγεαν·
Δόρυκλος δὲ τέλος
πυγμᾶς φέρε, Τίρυνθα ναίων πόλιν.
ἐν ἵπποισι δὲ τέτρασιν

ἀντιστροφή, κῶλ. η.

ἀπὸ Μαντινέας Σᾶμ' Ἀλιρροθίου.
ἄκοντι Φράστωρ δ' ἔλασε σκοπόν.
μᾶκος δ' Ἐνικεὺς ἔδικε πέτρῳ
χέρα κυκλώσας ὑπὲρ ἅπαντας,
καὶ συμμαχίᾳ θόρυβον
παρέθηξε μέγαν.
ἐν δ' ἕσπερον ἔφλεξεν εὐώπιδος
σελάνας ἐρατὸν φάος.

ἐπῳ. κῶλ. θ.

ἀείδετο δὲ πᾶν τέμενος τερπναῖ-



Quísnam recentem adeptus est coronam manibus, pedibúsque, & curribus, aduersarii, (seipsum in honore collocando) gloriam facto *suo* detrahens? * Stadio quidem prestantissimus fuit in rectitudinem extenso, pedibus currens filius Licymnii OEonus. venerat autem ex Midea exercitum ducens. Lucta autem illustrans Echemus Tegean. Doryclus verò finem pugilatus reportauit, Tiryntha incolens vrbem. Cum equis autem quatuor, * ex Mantinea *tu fil* Halirrothii, Seme: at iaculo Phrastor attigit scopum. Longè autem Eniceus iaculatus est saxeo disco, manum circumrotans supra omnes, & sodalitio tumultum commouit magnum, vesperúmque illustrauit pulchræ aspectu Lunæ amabile lumen. Personabat igitur totum delubrum iucun-



Universidad de Deusto Biblioteca

Universidad de Deusto Biblioteca



σι θαλίαις τὸν ἐγκώμιον ἀμφὶ τρόπον.
ἀρχαῖσι δὲ προτέραις ἑπόμενοι καὶ νῦν,
ἐπωνυμίαν χάριν νίκας ἀγερώχου,
κελαδησόμεθα βροντὰν, καὶ πυρπά-
λαμον βέλος
ὀρσικτύπου Διός γ', ἐν ἅπαντι κράτει
αἴθωνα κεραυνὸν ἀρηρότα.
χλιδῶσα δὲ μολπὰ πρὸς κάλαμον
ἀντιάξει μελέων·

στροφὴ ε, κῶ. η.

τὰ παρ' εὐκλεΐ Δίρκᾳ χρόνῳ μὲν φάνεν·
„ ἀλλ' ὥστε παῖς ἐξ ἀλόχου πατρὶ
„ ποθεινὸς, ἥκοντι νεότατι
„ τὸ πάλιν ἤδη· μάλα δέ τοι θερ-
„ μαίνει φιλότατι νόον·
„ ἐπεὶ πλοῦτος ὁ λα-
„ χὼν ποιμένα ἐπακτὸν ἀλλότριον
„ θνάσκοντι στυγερώτατος·

ἀντιστρ. κῶλ. η.

„ καὶ ὅταν καλὰ ἔρξας ἀοιδᾶς ἄτερ,
„ Ἀγησίδαμ' εἰς ἀΐδα σταθμὸν
„ ἀνὴρ ἵκηται, κενεὰ πνεύσαις,
„ ἔπορε μόχθῳ βραχύ τι τερπνόν.
τὶν δ' ἁδυεπής τε λύρα,



dis conuiuiis laudatorio ritu. Initia autem priora sequentes & nunc, gratiam *hymni* cognominem victoriæ superbæ canemus, tonitru & ignem protendens telum horrisoni Iouis, in omni potentia ardens fulmen aptum. Deliciosa autē modulatio carminum ad fistulam occurret* quæ apud inclytā Dircem longo quidem pòst tempore apparuerunt: sed quemadmodum filius ex vxore patri amabilis, venienti ad iuuentutem *præ senio* rursum, valdè autem incendit amore mentem (quoniā diuitiæ sortitæ dominum ascititium alienum, morienti *sunt* odiosissime *ita* * etiā quum pulchra operatus vir sine carmine, Agesidame, in Orci limen venerit, frustra sumpto labore, præbuit labori breuem quandā delectationem. Tibi autem dulciloquáque lyra,

Universidad de Deusto Biblioteca

γλυκύς τ' αὐλὸς ἀνα-
πάσσει χάριν. ἔχοντι δ' εὐρὺ κλέος
κόραι Πιερίδες Διός.

ἐπῳ. κῶλ. θ.

ἐγὼ δὲ συνεφαπτόμενος σπουδᾷ,
κλυτὸν ἔθνος Λοκρῶν ἀμφέπεσον, μέλιτι
δ' εὐάνορα πόλιν καταβρέχων, παῖδ' ἐ-
ρατὸν Ἀρχεστράτου αἴνησα, τὸν εἶδον,
κρατέοντα χερὸς ἀλκᾷ, βωμὸν παρ'
Ὀλύμπιον,
κεῖνον κατὰ χρόνον γ', ἰδέᾳ τε καλόν,
ὥρᾳ τε κεκραμένον. ἅ, τ' ἀναι-
δέα Γανυμήδει θάνατον ἄ-
λαλκε, σὺν Κυπρογενεῖ.

## ΤΩι ΑΥΤΩι ΑΓΗσιδάμῳ τόκος.

## Εἶδος ΙΑ.

στροφ. α. κῶλ. ς.

Ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλεῖστα
χρῆσις, ἔστιν δ' οὐρανίων ὑδάτων
ὀμβρείων, παίδων νεφέλας.
εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι, μελιγάρυες
ὕμνοι,



dulcisque fistula inspergit
gratiam. præbent quoque
amplum decus filiæ Pieri-
des Iouis. Ego quoque opi-
tulans studiosē, illustrē gē-
tem Locrorum amplexus
sum, & melle ciuitatem ir-
rigans viris præstantē, filiū
amabilem Archestrati lau-
daui. quem vidi vincentem
manus robore aram apud
Olympiacam, illo tempore
formáque pulchrum florē-
que ætatis temperatū: qui
*flos* impudentem à Gany-
mede mortem propulsa-
uit, cum Venere.

## EIDEM AGESI-
## damo fœnus.
## Ode XI.

ALiquando hominibus
ventorum plurimus
*est* vsus, aliquando item
cælestium aquarum filia-
rum nubis. Quòd si cum
labore aliquis rem prospe-
rè gerat, blādiloqui hymni

Universidad de Deusto Biblioteca

„ ὑστέρων ἀρχαὶ λόγων τέλλεται,
„ καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς.

ἀντιστρ. κῶλ. ς.

ἀφθόνητος δ' αἶνος ὀλυμπιονίκαις
οὗτος ἄγκειται. τὰ μὲν ἁμετέρα
γλῶσσα ποιμαίνειν ἐθέλει.
„ ἐκ θεοῦ δ' ἀνὴρ σοφαῖς ἀνθεῖ ἐσαεὶ
πραπίδεσσιν.
ἴσθι νῦν, Ἀρχεστράτου παῖ, τεᾶς
Ἀγησίδαμε πυγμαχίας ἕνεκεν,

ἐπῳδὸς κῶλ. ι.

κόσμον ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας
ἁδυμελῆ κελαδήσω, τὰν Ἐπι-
ζεφυρίων Λοκρῶν γενεὰν ἀλέγων.
ἔνθα συγκωμάξατ'. ἐγγυάσομαι,
μή μιν ὦ μοῖσαι φυγόξενον στρατὸν,
μηδ' ἀπείρατον καλῶν,
ἀκρόσοφον δὲ καὶ αἰχματὰν ἀφίξε-
„ σθαι. τὸ γὰρ
„ ἐμφυὲς, οὔτ' αἴθων ἀλώπηξ,
„ οὔτ' ἐρίβρομοι λέοντες
„ διαλλάξαιντο ἦθος.



posteriorũ occasiones sermo- „
num sunt, & fidum pignus ma „
gnis virtutibus. *Inuidiæ au- „
tem non obnoxia laus victo-
ribus Olympiorum hæc re-
posita est. Quæ quidem no-
stra lingua gubernare vult.
Cæterum ex deo homines „
prudentibus florent in per- „
petuum mentibus. Scito Ar- „
chestrati fili Agesidame, tui
pugilatus causa * ornamen-
tum ob coronam aureæ oliuæ
blandiloquum cantabo, Epi-
zephyriorum Locrorum gen
tem curæ habens. Ibi cho-
ream vna instituire. sponde-
bo, non ad ipsum, ô Musę, ho-
spites fugientem populum,
neque imperitum honesta-
tis, sed summè sapientem &
bellicosum perventuras esse.
Siquidem natura insitos ne- „
que ardens vulpes, nec graui- „
ter rugientes leones mutaue- „
rint mores. „

Universidad de Deusto Biblioteca

# ΕΡΓΟΤΕΛΕΙ ΙΜΕ-ραίῳ, δολιχοδρόμῳ.

## Εἶδος ΙΒ.

στροφὴ α, κῶ. θ.

Λίσσομαι παῖ Ζηνὸς ἐλευθερίου,
Ἱμέραν εὐρυσθενέ' ἀμ-
φιπόλει, σώτειρα Τύχα.
« τὶν γὰρ ἐν πόντῳ κυβερνῶνται θοαὶ
« νᾶες, ἐν χέρσῳ τε λαιψηροὶ πόλεμοι,
« κἀγοραὶ βουλαφόροι· αἵ γε μὲν ἀνδρῶν
« πόλλ' ἄνω, τὰ δ' αὖ κάτω
« ψεύδη μεταμώνια τέμνοι-
« σαι κυλίνδοντ' ἐλπίδες.

ἀντιστρ. κῶ. θ.

« σύμβολον δ' οὔπω τις ἐπιχθονίων
« πιστὸν ἀμφὶ πράξιος ἐσ-
« σομένας εὗρεν θεόθεν·
« τῶν δὲ μελλόντων τετύφλωνται φραδαί·
« πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπε-
« ἔμπαλιν μὲν τέρψιος· οἱ δ' ἀνιαραῖς [σεν,
« ἀντικύρσαντες ζάλαις,
« ἐσλὸν βαθὺ πήματος ἐν μι-



# ERGOTELI HImeræo dolichodromo.

## Ode XII.

SVpplico *tibi* filia Iouis libertatis præsidis pro Himera potenti vrbe, seruatrix Fortuna. A te enim in mari »
gubernãtur celeres naues, & »
terra rapida bella, concionésque consilij allatrices. Homi- »
num certè spes multa sur- »
sum, alia deorsum mendacia »
vana secantes voluuntur. »
*Signum enim nondum qui- »
squam terrestrium certum »
de re futura nactus est diui- »
nitus: sed futurorum excæca- »
tæ sunt cognitiones: multá- »
que hominibus præter opi- »
nionem eueniunt, in contra- »
rium delectationis. alij verò »
molestas quum inciderunt in »
procellas, bonum ingens in- »
fortunio bre-

Universidad de Deusto Biblioteca

κρῷ πεδάμειψαν χρόνῳ.

ἐπῳδ. κῶλ. ι.

υἱὲ Φιλάνορος, ἤτοι καὶ τεά κεν,
(ἐνδομάχας ἅτ' ἀλέκτωρ)
συγγόνῳ παρ' ἑστίᾳ,
ἀκλεὴς τιμὰ κατεφυλλορόησε ποδῶν,
εἰ μὴ στάσις ἀντιάνειρα
Κνωσίας ἄμερσε πάτρας.
νῦν δ' Ὀλυμπίᾳ στεφανωσάμενος,
καὶ δὶς ἐν Πυθῶνι, Ἰσθμοῖ τ' Ἐργότελες,
θερμὰ νυμφᾶν λουτρὰ βαστάζεις, ὁμιλέ-
ων παρ' οἰκείαις ἀρούραις.

ΞΕΝΟΦΩΝΤΙ ΚΟ-
ρινθίῳ, σταδιεῖ, δρόμῳ καὶ
πεντάθλῳ.

Εἶδος ΙΓ.

στροφὴ α, κῶλ. ια.

Τρισολυμπιονίκαν ἐπαινέων
οἶκον, ἅμερον ἀστοῖς,
ξένοισι δὲ θεράποντα, γνώσομαι
τὰν ὀλβίαν Κόρινθον, Ἰσθμίου



ni permutant tempore. *Fili Philanoris, certè & tuum (domi pugnans velut gallus gallinaceus) cognatum apud larem inglorium decus emarcuisset pedum, nisi seditio viros inter se committens, Cnosia [te] priuasset patria. At nunc apud Olympiam coronatus, & bis apud Pythonem, & apud Isthmum, Ergoteles, calida nympharum balnea extollis, versans apud domestica arua.

XENOPHONTI
Corinthio cursori stadij, *uictoriam adepto* cursu & quinquertio.

Ode 13.

OLympiorum ter victricem laudans domum, benignam erga ciues, hospitibúsque inseruientem in notitiam adducam beatam Corinthum, Isthmij

πρόθυρον Ποσειδᾶνος ἀγλαόκουρον.
ἐν τᾷδε γὰρ Εὐνομία ναίει, κασίγνη-
ταί τε, βάθρον πολίων,
ἀσφαλὴς δίκα, καὶ ὁμό-
τροπος εἰράνα, ταμίαι
ἀνδράσι πλούτου, χρύσεαι
παῖδες εὐβούλου Θέμιτος.

ἀντιστρ. κῶλ. ια.

ἐθέλοντι δ' ἀλέξειν ὕβριν κόρου
ματέρα θρασύμυθον.
ἔχω καλά τε φράσαι, τόλμα τέ μοι
εὐθεῖα γλῶσσαν ὀρνύει λέγειν.
ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος.
« ὔμμιν δὲ παῖδες Ἀλάτα, πολλὰ μὲν νι-
καφόρον ἀγλαΐαν
ὤπασαν τ' ἄκραις ἀρεταῖς
ὑπερελθόντων ἱεροῖς
ἐν ἀέθλοισιν· πολλὰ δ' ἐν
καρδίαις ἀνδρῶν ἔβαλον

ἐπῳ. κῶ. ια.

ὧραι πολυάνθεμοι ἀρ- (ἔργον
χαῖα σοφίσματ'. ἅπαν δ' εὑρόντος
ταὶ Διωνύσου πόθεν ἐξέφανεν
σὺν βοηλάτᾳ χάριτες



vestibulum Neptuni, florẽs iuuenibus. In hac Eunomia habitat sororésque, fundamentum vrbium, firma iustitia, & iisdem moribus *prædita* pax dispensatrices hominibus diuitiarum, aureæ filiæ Themidis consultricis bonæ. *Volunt autem arcere iniuriam, saturitatis matrem audaciloquam. Habeo honestáque loqui, audaciáque mihi recta linguam incitat ad dicendum. Impossibile occultare ingenitos mores. Nobis autem ó filij Aletæ, « sæpenumero quidem vi- « ctoriæ reportatorem splendorem præbuerunt, eorum qui per summas strenuitates victores fuerunt sacris in certaminibus, multa verò cordibus hominũ immiserũt*Horę floribus copiosæ antiquitus solertia inuẽta. Omne autẽ opus *est* eius « qui inuenit. Bacchi vnde e- « xortæ venustates sunt cum boues agente

Universidad de Deusto Biblioteca

διθυράμβῳ; τίς γὰρ ἱππί-
οις ἐν ἔντεσσιν μέτρα,
ἢ θεῶν ναοῖσιν οἰω-
νῶν βασιλῆα δίδυ-
μον ἔθηκ'; ἐν δὲ Μοῖσ' ἁδύπνοος,
ἐν δ' Ἄρης ἀνθεῖ νέων
οὐλίαις αἰχμαῖσιν ἀνδρῶν.

στρο. β΄. κῶ. ια.

ὕπατ' εὐρὺ ἀνάσσων Ὀλυμπίας,
ἀφθόνητος ἔπεσσι
γένοιο χρόνον ἅπαντα, Ζεῦ πάτερ·
καὶ τόνδε λαὸν ἀβλαβῆ νέμων,
Ξενοφῶντος εὔθυνε δαίμονος οὖρον·
δέξαι δέ οἱ στεφάνων ἐγκώμιον τε-
θμόν, τὸν ἄγει πεδίων
ἐκ Πίσας, πεντάθλῳ ἅμα
σταδίου νικῶν δρόμον. τὸν
ἀντεβόλησεν τῶν ἀνὴρ
θνατὸς οὔπω τις πρότερον·

ἀντιστρ. κῶ. ια.

δύο δ' αὐτὸν ἔρεψαν πλόκοι σελί-
νων ἐν Ἰσθμιάδεσσιν
φανέντα· Νέμεά τ' οὐκ ἀντιξοεῖ.
πατρὸς δὲ Θεσσαλοῦ ἐπ' Ἀλφεοῦ



dithyrambo? quis præterea equestribus in armis mēsuras, aut deorum templis auium regem geminū apposuit? In ea est & Musa suauiter spirans, in ea Mars etiam floret iuuenum perniciosis præliis hominum. * O supreme, latè imperans Olympiæ, non inuidus carminibus *meis* sis tempore omni, Iupiter pater, & hunc populum damni expertem regens, Xenophontis dirige genij ventum prosperum: & accipe eius coronarum laudatoriam legem, quā aduehit ex campis Pisæ, vna cum quinquertio stadij vincēs cursum, quę non consequutus est vir mortalis vnquam prius.* Duo ipsum contexerunt plicamenta apiorū in Isthmiadibus conspectum: Nemeáque non repugnant. Patris autē Thessali ad Alphei

ῥεέθροισιν αἴγλα ποδῶν ἀνάκειται·
Πυθοῖ τ' ἔχει σταδίου τιμὰν διαύλου
θ', ἁλίῳ ἀμφ' ἑνί. μη-
νός τέ οἱ τωὐτοῦ, κρανααῖς
ἐν Ἀθάναισι, τρία μὲν
ἔργα ποδάρκης ἀμέρα
θῆκε κάλλιστ' ἀμφὶ κόμαις·

ἐπῳ. κώ. ια.

Ἑλλώτια δ' ἑπτάκις. ἐν
δ' ἀμφιάλοισι Ποσειδᾶνος τεθμοῖσι
Πτοιοδώρῳ σὺν πατρὶ, μακρότεραι
τερψιές θ' ἕψοντ', ἐείπ-
μοί τ' ἀοιδαί. ὅσσα τ' ἐν Δελ-
φοῖσιν ἀριστεύσατε
ἠδὲ χόρτοις ἐν λέοντος;
δηρίομαι πολέσιν
περὶ πλήθει καλῶν. ὡς μὰν σαφὲς
οὐκ ἂν εἰδείην λέγειν
ποντιᾶν ψάφων ἀριθμόν.

στροφὴ γ. κῶ. ια.

« ἕπεται δ' ἐν ἑκάστῳ μέτρον· νοῆ-
« σαι δὲ, καιρὸς ἄριστος.
ἐγὼ δὲ ἴδιος ἐν κοινῷ σταλεὶς,
μῆτίν τε γαρύων παλαιγόνων,



fluenta decus pedum repositum est. quinetiam in Pythiis habet stadij honorem, diaulíque, sole in vno. mense præterea eodem asperas apud Athenas, tria certamina celeripes dies posuit pulcherrimas circum comas.

* Hellotia autem septies *vicit*. In mari cinctis autem Neptuni ritibus, Ptœodoro cum patre, maiora oblectamenta sequuntur & perhonorifica carmina. Quammultos etiam fortitudinis principatus obtinuistis apud Delphos, & in septis leonis? Pugno cum multis de multitudine vestrorum insignium factorum. Sic quidem apertè non nossem recensere marinorum calculorum numerum. *Consentaneus est autem in quaque [re] modus, *quem* intelligere, opportunitas *est* optima. Ego autem proprius in communi missus, consiliúmque laudans maiorum,

[illegible]

πόλεμόν τ' ἐν ἡρωΐαις ἀρεταῖσιν,
οὐ ψεύσομ' ἀμφὶ Κορίνθῳ· Σίσυφον μὲν
πυκνότατον παλάμαις
ὡς θεόν, καὶ τὰν πατρὸς ἀν-
τία Μήδειαν θεμέναν
τὸν γάμον αὐτᾷ, ναῒ σώ-
τειραν Ἀργοῖ καὶ προπόλοις.

ἀντιστρ. κῶλ. ια.

τὰ δὲ, καί ποτ' ἐν ἀλκᾷ πρὸ Δαρδάνου
τειχέων ἐδόκησαν
ἐπ' ἀμφότερα μαχᾶν τέμνειν τέλος·
τοὶ μὲν, γένει φίλῳ σὺν Ἀτρέος
Ἑλέναν κομίζοντες· οἱ δ' ἀπὸ πάμπαν
εἴργοντες. ἐκ Λυκίας δὲ Γλαῦκον ἐλθόν-
τα τρόμεον Δαναοί·
τοῖσι μὲν ἐξεύχετ' ἐν ἄ-
στει Πειράνας, σφετέρου
μὲν πατρὸς ἀρχὰν, καὶ βαθὺν
κλᾶρον ἔμμεν καὶ μέγαρον.

ἐπῳ. κῶ. ια.

ὃς τᾶς ὀφιώδεος υἱ-
όν ποτε Γοργόνος ἦ πόλλ' ἀμφὶ κρουνοῖς
Πάγασον ζεῦξαι ποθέων ἔπαθε,
πρίν γε οἱ χρυσάμπυκα κού-



bellúmque heroicis in virtutibus, non mentiar de Corintho. Sisyphum quidem prudentissimum artificiis, vt deum, & contra patrem Medeam molitam nuptias sibi, nauis seruatricem Argûs & vectorum.* In iis autem quæ *sunt* in robore, ante Dardani muros visi fuerunt quondam in vtranque *partem* præliorum secare finem, alii quidem cum charo genere Atrei Helenam repetentes, alii autem omnino prohibentes. Ex Lycia autem Glaucum qui venerat, timuerunt Danai. apud hos quidem gloriabatur, in vrbe Pirenes sui quidem patris regnum & magnas opes esse, & domum. * Qui serpentosæ filium olim Medusæ Pegasum iungere cupiens, multa certè circa riuos *Pirenes* pertulit, donec ei aureas phaleras habens frænum

Universidad de Deusto Biblioteca

εα χαλινὸν Παλλὰς ἤνεγ-
κ᾽. ἐξ ὀνείρου δ᾽ αὐτίκα
ἦν ὕπαρ· φώνασε δ᾽, εὕδεις
Αἰολίδα βασιλεῦ;
ἄγε φίλτρον τόδ᾽ ἵππειον δέκευ,
καὶ δαμαίῳ μιν, θύων
ταῦρον ἀργὸν, πατρὶ δεῖξον.

στροφὴ δ. κώ. ια.

κυάναιγις ἐν ὄρφνᾳ κνώσσοντί οἱ
παρθένος τόσα εἰπεῖν
ἔδοξεν. ἀνὰ δ᾽ ἔπαλτ᾽ ὀρθῷ ποδί,
παρκείμενον δὲ συλλαβὼν τέρας,
ἐπιχώριον μάντιν ἄσμενος εὗρεν·
δεῖξέν τε Κοιρανίδᾳ πᾶσαν τελευτὰν
πράγματος· ὥστ᾽ ἀνὰ βω-
μῷ θεᾶς κοιτάξατο νύ-
κτ᾽, ἀπ᾽ ἐκείνου χρήσιος, ὅ-
πως τέ οἱ αὐτὰ Ζηνὸς ἐγ-
χεικεραύνου παῖς ἔπορε

ἀντιστρ. κώ. ια.

δαμασίφρονα χρυσὸν. ἐνυπνίῳ
δ᾽ ὡς τάχιστα πιθέσθαι
κελήσατό μιν· ὅταν δ᾽ εὐρυσθενεῖ
καρταίποδ᾽ ἀνερύῃ γαιαόχῳ,



puella Pallas attulit. E somnio autẽ statim fuit *istud* vigilanti euidens: loquutáque est, Dormis oriunde ab AEolo rex? age, delinimentum hoc equinum accipe, & domitori ipsum (sacrificans taurum splendidum) patri ostendito.

*Nigram habens ægidem in nocte dormienti illi virgo non plura dicere visa est. Exiluit igitur recto pede: adiacénsque quum corripuisset monstrum, indigenam vatem lubens reperit, ostendítque Cœrani filio omnem euentum rei. vt in ara deæ dormisset noctu, iuxta oraculum ab eo datum: & quomodo illi ipsa Iouis ense fulminatoris filia dedisset* domans feroces animos aurũ. Somnio itaque quàm celerrimè parere iussit ipsum: & quum præpotenti taurum mactasset terram continenti,

Universidad de Deusto
Biblioteca



θέμεν ἱππίᾳ βωμὸν εὐθὺς Ἀθάνᾳ.
« πληροῖ δὲ θεῶν δύναμις καὶ τὰν παρ'
« καὶ παρὰ ἐλπίδα κού- ὅρκον,
« φαν κτίσιν γ᾽. ἤτοι καὶ ὁ καρ-
τερὸς ὁρμαίνων ἔλαβε
Βελλεροφόντας, φάρμακον
πραῢ τείνων ἀμφὶ γένυ,

ἐπῳδ. κῶλ. ια.

ἵππον πτερόεντ᾽. ἀναβὰς
δ᾽ εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπαιζε.
σὺν δ᾽ ἐκείνῳ καί ποτ᾽ Ἀμαζονίδων
αἰθέρος ψυχρᾶς ἀπὸ κόλ-
πων ἐρήμου, τοξόταν βάλ-
λων γυναικεῖον στρατόν,
καὶ Χίμαιραν πῦρ πνέοισαν,
καὶ Σολύμοις ἔπεφνε.
διασιγάσομαι αὐτῷ μόρον.
τὸν δ᾽ ἐν Ὀλύμπῳ φάτναι
Ζηνὸς ἀρχεῖαι δέχονται.

στρο. ε, κῶλ. ια.

ἐμὲ δ᾽ εὐθὺν ἀκόντων ἱέντα ῥόμ-
βον, παρὰ σκοπὸν οὐ χρὴ
τὰ πολλὰ βέλεα καρτύνειν χεροῖν.
Μοίσαις γὰρ ἀγλαοθρόνοις ἑκὼν



vt strueret equestri aram
statim Mineruæ. Efficit „
autem deorum potentia „
vt sit opus facile quod *a-* „
*lioqui est* præter id quod „
quis iuret & speret *posse fie-* „
*ri*. Certè & fortis alacri a- „
nimo accepit Bellerophō-
tes * equum alatum, phar-
macum delinitorium ex-
tendens circa mandibulas.
Simulatque autem con-
scendisset, æratus lusit *sal-
tationem* enoplion. Cū illo
autē aliquando Amazoni-
dū etiā muliebrē exercitū
sagittariū aeris frigidi &
deserti à finibus iaculās, &
Chimærā ignem spirantē,
& Solymos interfecit. Re-
ticebo eius mortem: sed i-
psum *equum* in Olympo
presepia Iouis antiqua ex-
cipiunt.* Verùm me rectū
telorū mittētem turbinē,
præter scopū non oportet
multa tela firmare mani-
bus. Musis enim splēdidas
sedes habentibus cedens,

Universidad de Deusto Biblioteca



Ὀλιγαιθίδαισίν τ' ἔβαν ἐπίκουρος,
Ἰσθμοῖ, τά τ' ἐν Νεμέᾳ. παύρῳ δ' ἔ-
σω φανέρ' ἀθρό' ἀλα- [πει θή-
θής τέ μοι ἔξορκος ἐπέσ-
σεται. ἑξηκοντάκι γὰρ
ἀμφοτέρωθεν γ' ἁδύγλωσ-
σος βοὰ κάρυκος ἐσλοῦ.

ἀντιστρο. κώ. ια.

τὰ δ' Ὀλυμπίᾳ αὐτῶν ἔοικεν ἤ-
δη πάροιθε λελέχθαι·
τὰ τ' ἐσσόμενα τότ' ἂν φαίνοιμι σαφές.
νῦν δ' ἔλπομαι μὲν, ἐν θεῷ γε μὰν
τέλος. εἰ δὲ δαίμων γενέθλιος ἕρποι,
Διὶ τοῦτ' Ἐνυαλίῳ τ' ἐκδώσομεν πράσ-
σειν. τὰ δ' ἐπ' ὀφρύϊ Παρ-
νασσίᾳ, ἀμφ' Ἄργει τε, ὅ-
σα καὶ ἐν Θήβαις, ὅσα τε
Ἀρκάσ' ἀνάσσων, μαρτυρή-
σει Λυκαίου βωμὸς ἄναξ,

ἐπῳ. κώ. ια.

Πελλάνα τε καὶ Σικυὼν,
καὶ Μέγαρ', Αἰακιδᾶν τ' εὐερκὲς ἄλσος,
ἅ τ' Ἐλευσὶς, καὶ λιπαρὰ Μαραθὼν,
ταί θ' ὑπ' Αἴτνας ὑψιλόφου



Oligæthidis veni auxiliator, *ob eorum facta* apud Isthmũ & Nemeã. breui igitur carmine faciam manifesta verúmque mihi iusiurandũ aderit. sexagies enim vtrinque dulcilinguis vox prȩconis *victores eos pronuntiauit.* * Eorũ autẽ apud Olympiã *facta* videntur iam anteà dicta fuisse. Futura autẽ, tunc *quum fuerint* dixerim apertè. Nunc autem spero quidem, sed in deo *est* euentus. verùm si deus custos eius iam à natiuitate progrediatur, oui hoc Martiq; trademus faciẽdũ. *Facta autem eius* in iugo Parnassio, & apud Argos, & apud Thebas, *papæ* quàm multa *sũt*: & quàm multa apud Arcades *fecit* dominiũ *coronæ* obtinens, testabitur Lycȩi Iouis ara regina: Pellana quoque *testis erit factorum eius* & Sicyon, & Megara, AEacidarúmque benesęptus lucus, Eleusísque & opulenta Marathõ, & quæ sunt sub AEtna altivertice

Universidad de Deusto Biblioteca



καλλίπλουτοι πόλιες, ἅ,τ' Εὔ-
βοια· καὶ πᾶσαν κατ'
Ἑλλάδ' εὑρήσεις ἐρευνῶν
μάσσον' ἢ ὡς ἰδέμεν.
ἀλλὰ κούφοισιν ἔκνευσαι ποσί,
Ζεῦ τέλει, αἰδῶ δίδοις,
καὶ τύχαν τερπνῶν γλυκεῖαν.

## ΑΣΩΠΙΧΩι ΟΡχομενίῳ, παιδὶ Κλεοδάμου, σταδιεῖ.

### Εἶδος ΙΔ.

Εἶδος μονοστροφικὸν, κώλ. ιη, καὶ ιζ.

Καφισίων ὑδάτων λαχοῖσαι,
αἵτε ναίετε καλλίπωλον ἕδραν,
ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι
Χάριτες Ὀρχομενοῦ,
παλαιγόνων Μινυᾶν ἐπίσκοποι,
κλῦτ', ἐπεὶ εὔχομαι.
σὺν γὰρ ὑμῖν τά τε τερπνὰ καὶ τὰ γλυκέα
γίνεται πάντα βροτοῖς,
εἰ σοφὸς, εἰ καλὸς, εἴ τις ἀγλαὸς



diuitiis florentes vrbes, & Eubœa. Denique vniuersam per Græciam inuenies scrutans maiora quàm mente complecti possis. Sed me leuibus exire pedibus Iupiter effice, reverentiam dans, & prosperitatem rerum delectabilium dulcem.

## ASOPICHO ORchomenio, filio Cleodami, stadij cursori.

### Ode XIIII.

CEphesias aquas sortitæ, & quæ incolitis pulchritudine equorum nobilem sedem, ô pinguis Orchomeni celebres reginæ Charites, antiquorum Minyarum præsides, audite, quoniam preces fundo Nam per vos delectabilia & dulcia existunt omnia mortalibus, si sapiens, si pulcher, si quis splendidus

« ἀνήρ. οὔτε γὰρ θεοὶ
« σεμνᾶν Χαρίτων ἄτερ
« κοιρανέοντι χοροὺς,
« οὔτε δαῖτας· ἀλλὰ πάντων
« ταμίαι ἔργων ἐν οὐρανῷ,
« χρυσότοξον θέμεναι
« παρὰ Πύθιον Ἀπόλλωνα θρόνους,
« ἀέναον σέβοντι πατρὸς
« Ὀλυμπίοιο τιμάν.

τὰ ιβ αὐτοῦ κῶλα.

πότνι' Ἀγλαΐα, φιλησίμολπέ
τ' Εὐφροσύνα, θεῶν κρατίστου παῖδες,
ἐπάκοοι νῦν, Θαλία τε ἐ-
ρασίμολπε, ἰδοῖσα τόνδε
κῶμον ἐπ' εὐμενεῖ τύχᾳ,
κοῦφα βιβῶντα. Λυδῷ γὰρ
Ἀσώπιχον ἐν τρόπῳ,
ἐν μελέταις τε ἀείδων [νύεια
μόλον, οὕνεκα ὀλυμπιόνικος ἁ Μι-
σεῦ ἕκατι. μελαντειχέα δόμον
Φερσεφόνας ἴθι Ἀχοῖ,
πατρὶ κλυτὰν φέροισ' ἀγ-
γελίαν, Κλεόδαμον ὄφρ' ἰδοῖσ' υἱ-
ὸν εἴπῃς ὅτι οἱ νέαν



ſit vir. neque enim dij ve- »
nerabilibus abſque Cha- »
ritibus regunt choros, ne- »
que cõuiuia: ſed omnium »
diſpenſatrices operum in »
cælo, quæ iuxta *inſignem* »
arcu aureo Pythiũ Apol- »
linem collocarunt ſedes, »
ſempiternũ colunt patris »
Olympij honorẽ. *Vene- »
randa Aglaïa, hymnorúm-
que amans Euphroſyne,
filiæ eius qui potẽtiſſimus
eſt deorum, exauditrices
nunc *eſtote*. Tu quoque
Thalia cantus ſtudioſa,
conſpicata hunc chorealẽ
hymnum ſorte propitia
leuiter incedentem. Lydio
enim Aſopichũ in rythmo
& pręmeditatis carminibus
decantãs veni, quoniam
in Olympiis victrix
Minyea vrbs *eſt* propter
te. Nigros muros habentẽ
domũ Perſephonę vade Echo,
patri nobile ferẽs nũtiũ,
Cleodamũ vt intuita
filium, dicas quòd ei iuuenilem

Universidad de Deusto
Biblioteca



κόλποισι παρ' ἐνδόξοιο Πίσας,
ἐστεφάνωσε κυδίμων ἀέθλων
πτεροῖσι χαίταν.

# ΠΙΝΔΑΡΟΥ
## Πύθια.
## ΙΕΡΩΝΙ ΑΙ- τναίῳ, Συρακοσίῳ, ἅρματι.
### Εἶδος Α.

στροφὴ α, κῶ. ιβ.

ΧΡΥΣΕΑ φόρμιγξ Ἀπόλλωνος, καὶ ἰοπλοκάμων σύνδικον Μοισᾶν κτέανον,
τᾶς ἀκούει μὲν βάσις, ἀγλαΐας ἀρχά·



in finibus illustris Pisæ coronauit inclytorum certaminum pennis cæsariem.

# PINDARI
## Pythia.
## HIERONI AEtnæo Syracusano, curru victoriam adepto.
### Ode I.

AVREA cithara Apollinis, & nigrum capillitiũ habentiũ Musarum consona possessio, quam audit quidem rhythmus, lætitiæ initium:

πείθονται δ' ἀοιδοὶ σάμασιν,
ἁγησιχόρων ὁπόταν προοιμίων
ἀμβολὰς τεύχῃς ἐλελιζομένα,
καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις
ἀενάου πυρός· εὕ-
δει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετός, ὠ-
κεῖαν πτέρυγ' ἀμφοτέρω-
θεν χαλάξαις,

ἀντιστρ. κῶλ. ιβ.

ἀρχὸς οἰωνῶν. κελαινῶ-
πιν δ' ἐπί οἱ νεφέλαν
ἀγκύλῳ κρατὶ βλεφάρων
ἁδὺ κλάϊστρον κατέχευας. ὁ δὲ κνώσ-
ὑγρὸν νῶτον αἰωρεῖ, τεαῖς [σων
ῥιπαῖσι κατασχόμενος. καὶ γὰρ βια-
τὰς ἄρης, τραχεῖαν ἄνευθε λιπὼν
ἐγχέων ἀκμὰν, ἰαίνει καρδίαν
« κώματι· κῆλα δὲ καὶ
« δαιμόνων θέλγει φρένας, ἀμφί τε Λα-
« τοίδα σοφίᾳ, βαθυκόλ-
« πων τε Μοισᾶν.

ἐπῳ. κῶλ. ιε.

« ὅσσα δὲ μὴ πεφίληκε
« Ζεὺς, ἀτύζονται βοὰν



& parent cantores signis
quum choris præeun-
tium procemiorum præ-
ludia facis, & cuspidatum
fulmen extinguis æterni
ignis, dormitque sub sce-
ptro Iouis aquila, velo-
cem alam vtrinque la-
xans, * dux auium ni-
grámque nubem (palpe-
brarum suaue claustrum)
super aduncum eius ro-
strum infundis. atque illa
dormiens humidum dor-
sum attollit, tuis missili-
bus delinita. Quinetiam
violentus Mars, asperam
seorsum relinquens ha-
starum cuspidem, oble-
ctat cor voluptate. Deni- »
que carminum illece- »
bræ & deorum quoque »
demulcent mentes, cum »
Latoidæ sapientia, & »
profundos sinus haben- »
tium Musarum. At quæ »
non amat Iupiter, auer- »
santur vocem »

Universidad de Deusto Biblioteca

" Πιερίδων ἀΐοντα,
" γᾶν τε καὶ πόντον κατ' ἀμαιμάκετον·
ὅς τ' ἐν αἰνᾷ Ταρτάρῳ κεῖ-
ται θεῶν πολέμιος,
Τυφὼς ἑκατοντακάρανος, τόν ποτε
Κιλίκιον θρέψε πολυώ-
νυμον ἄντρον· νῦν γε μὰν
ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι,
Σικελία τ' αὐτοῦ πιέζει
στέρνα λαχάεντα· κίων
δ' οὐρανία συνέχει,
νιφόεσσ' Αἴτνα πάνετες
χιόνος ὀξείας τιθήνα.

στρο. β. κῶλ. ιβ.

τᾶς ἐρεύγονται μὲν ἀπλά-
του πυρὸς ἁγνόταται
ἐκ μυχῶν παγαί. ποταμοὶ
δ' ἁμέραισι μὲν προχέοντι ῥόον κα-
αἴθων'· ἀλλ' ἐν ὄρφναισι πέτρας [πνοῦ
φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖ-
αν φέρει πόντου πλάκα σὺν πατάγῳ.
κεῖνο δ' Ἀφαίστοιο κρουνοὺς ἑρπετὸν
δεινοτάτους ἀναπέμ-
πει. τέρας μὲν θαυμάσιον προσιδέ-



Pieridum audientia, per "
terram atque per mare "
vastum. quique in horrendo Tartaro iacet deorũ hostis Typhœus centiceps. quem olim Cilicium educauit multi nominis antrum. at nunc & littora mare coercentia quæ *sunt* super Cumam, Siciliáque eius premit pectora hispida, columnáque cælestis cohibet, niuosa AEtna, per totum annũ niuis acutę nutrix, *cuius ex penetralibus eructãtur inaccessi ignis purissimi fõtes, fluuiiq; *ignis* interdiu effundunt verticẽ fumi ardentem: sed noctu rutila flamma volutata, saxa in profũdã defert maris planitiẽ cum vehemẽti strepitu. Illud autẽ Vulcani reptile gurgites valdè horrẽdos eiectat, prodigiũ quidẽ admirabile aspe-

Universidad de Deusto Biblioteca

σθαι, θαῦμα δὲ καὶ παριόν-
των ἀκοῦσαι,

ἀντιστρ. κῶλ. ιϛ.

οἷον Αἴτνας ἐν μελαμφύλ-
λοις δέδεται κορυφαῖς,
καὶ πέδῳ· στρωμνὰ δὲ χαράσ-
σοισ' ἅπαν νῶτον ποτικεκλιμένον κεντεῖ.
εἴη Ζεῦ, τὶν εἴη ἁνδάνειν,
ὃς τοῦτ' ἐφέπεις ὄρος, εὐκάρποιο γαί-
ας μέτωπον. τοῦ μὲν ἐπωνυμίαν
κλεινὸς οἰκιστὴρ ἐκύδανε πόλιν
γείτονα. Πυθιάδος
δ' ἐν δρόμῳ κᾶρυξ ἀνέειπέ νιν ἀγ-
γέλλων Ἱέρωνος ὑπὲρ
καλλινίκου

ἐπῳ. κῶ. ιε.

« ἅρμασι. ναυσιφορήτοις
« δ' ἀνδράσι πρώτα χάρις
« ἐς πλόον ἀρχομένοις, πομ-
« παῖον ἐλθεῖν οὖρον. ἐοικότα γὰρ
« κἀν τελευτᾷ φερτέρου νό-
« στου τυχεῖν· ὁ δὲ λόγος
ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει
λοιπὸν ἔσσεσθαι στεφάνοι-



ctu, miranda verò res & iis qui audiunt ab illis qui transierunt, * qualiter AEtnæ in nigrifrondibus ligatus est cacuminibus & solo, cubiléque vellicans totum dorsum inclinatum pungit. Contingat Iupiter, tibi contingat placere, qui hunc regis montem (fertilis terræ frontem) cui cognominem inclytus conditor decorauit vrbem vicinam, Pythiadísque in curriculo præco proclamauit ipsam, nuntium adferens super egregii victoris curribus. Viris autem qui nauibus vehuntur, præcipuum gaudium, nauigationem auspicantibus, deductorium venire ventum. verisimile est enim & in fine meliorem reditum consequuturos. Mea autem oratio his successibus gloriam affert, *dicens* in posterum futuram esse coro-

Universidad de Deusto Biblioteca

σιν, ἵπποισί τε κλυτάν,
σὺν εὐφώνοις θαλίαις ὀνομαστάν.
Λύκιε καὶ Δάλοιο ἀνάσσων
Φοῖβε, Παρνασσοῦ τε κράναν
Κασταλίαν φιλέων,
ἐθελήσαις ταῦτα νόῳ
τιθέμεν εὔανδρόν τε χώραν.

στροφὴ γ. κῶλ. ιβ.

« ἐκ θεῶν γὰρ μαχαναὶ πᾶ-
« σαι βροτέαις ἀρεταῖς,
« καὶ σοφοὶ, καὶ χερσὶ βια-
« ταὶ, περίγλωσσοί τ' ἔφυν. ἄνδρα δ'
ἐγὼ κεῖνον
αἰνῆσαι μενοινῶν, ἔλπομαι
μὴ χαλκοπάραον ἄκονθ' ὡσεὶτ' ἀγῶ-
νος βαλεῖν ἔξω παλάμᾳ δονέων,
μακρὰ δὲ ῥίψαις ἀμεύσασθ' ἀντίους.
εἰ γὰρ ὁ πᾶς χρόνος ὄλ-
βον μὲν οὕτω καὶ κτεάνων δόσιν εὐ-
θύνοι, καμάτων δ' ἐπίλα-
σιν παράσχοι.

ἀντιστρ. κῶλ. ιβ.

ἦ κεν ἀμνάσειεν οἵαις
ἐν πολέμοισι μάχαις



nis & equis inclytam, & inter dulcisona cõuiuia celebrem. Lyciæ & Deli imperiũ obtinens Phœbe Parnassique fontem Castaliã amãs, velis hæc animo mandare, & bene instructã viris regionẽ.
* A diis enim molimina "
omnia mortalibus vir- "
tutibus, & prudentes & "
manibus fortes & lin- "
gua eximij nascũtur. Virum autem ego illum laudare cogitans, spero me ærea cuspide iaculũ non tanquam extra certamen iacturum, manu vibrantem, sed vbi procul eiaculatus fuero, superaturum aduersarios. Vtinam enim vniuersum tempus felicitatem quidem ita & diuitiarum donationem dirigát, laborum verò obliuionem præbeat. * Certè in memoriam reduceret quidem in bellis

Universidad de Deusto Biblioteca

τλάμονι ψυχᾷ παρέμει-
ν', ἀνίχ' εὑρίσκοντο θεῶν παλάμαις τι
οἵαν οὔτις Ἑλλάνων δρέπει, [μὰν
πλούτου στεφάνωμ' ἀγέρωχον. νῦν γε μὰν
τὰν Φιλοκτήταο δίκαν ἐφέπων,
ἐστρατεύθη, σὺν δ' ἀνάγκᾳ μιν φίλον
καί τις ἐὼν μεγαλά-
νωρ ἔσανε. φαντὶ δὲ Λαμνόθεν ἕλ-
κει τειρόμενον, μεταλλάσ-
σοντας ἐλθεῖν

ἐπῳ. κῶ. ιε.

ἥρωας ἀντιθέους Ποί-
αντος υἱὸν τοξόταν,
ὃς Πριάμοιο πόλιν πέρ-
σεν τελεύτασέν τε πόνους Δαναοῖς·
ἀσθενεῖ μὲν χρωτὶ βαίνων,
ἀλλὰ μοιρίδιον ἦν.
οὕτω δ' Ἱέρωνι θεὸς ὀρθωτὴρ πέλοι,
τὸν προσέρποντα χρόνον, ὧν
ἔραται καιρὸν διδούς.
Μοῖσα καὶ πὰρ Δεινομένει κελαδῆσαι
πείθεό μοι ποινὰν τεθρίππων.
χάρμα δ' οὐκ ἀλλότριον νι-
καφορία πατέρος.



toleranti animo pugnas sustinuerit, quando nacti sunt deorum auxiliis honorem qualem nullus Græcorum decerpit, diuitiarum coronamentum superbum. Nunc Philoctetæ morem sequens in militiam profectus est, & ex necessitate & *tanquam* amico etiã aliquis qui erat magna fortitudine præditus blanditus est. Aiunt autem ex Lemno, quum vlcere vexaretur, inuestigaturos venisse *heroas dijs comparandos Pæantis filium sagittarium, qui Priami vrbem euertit, finiuítque labores Græcis: inualido quidem corpore incedens, sed fatale erat. Sic autem Hieroni deus stabilitor sit sequenti tempore, eorum quæ optat, facultatem opportunam tribuens. Musa etiam apud Dinomenem ad canendum mihi obsequere, præmium quadrigarum: gaudium enim non alienum *à filio* victoria patris.

Universidad de Deusto Biblioteca

ἄγ᾽ ἔπειτ᾽ Αἴτνας βασιλεῖ
φίλιον ἐξεύρωμεν ὕμνον.

στρο. δ. κῶλ. ιϛ.

τῷ πόλιν κείναν θεοδμά-
τῳ σὺν ἐλευθερίᾳ,
Ὑλλίδος σταθμᾶς Ἱέρων
ἐν νόμοις ἔκτισε· θέλοντι δὲ Παμφύλου
καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι,
ὄχθαις ὕπο Ταϋγέτου ναίοντες, αἰ-
εὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμίου
Δωριεῖς. ἔσχον δ᾽ Ἀμύκλας ὄλβιοι
Πινδόθεν ὀρνύμενοι,
λευκοπώλων Τυνδαριδᾶν βαθύδο-
ξοι γείτονες, ὧν κλέος ἄν-
θησεν αἰχμᾶς.

ἀντιστροφή, κῶλ. ιϛ.

Ζεῦ τέλει᾽, αἰεὶ δὲ τοιαύ-
ταν, Ἀμένα παρ᾽ ὕδωρ,
αἶσαν ἀστοῖς καὶ βασιλεῦ-
σι, διακρίνειν ἔτυμον λόγον ἀνθρώπων.
σύν τοι τίν κεν ἁγητὴρ ἀνήρ,
υἱῷ τ᾽ ἐπιτελλόμενος, δᾶμόν τε γε-
ραίρων, τράποι σύμφωνον ἐφ᾽ ἡσυχίαν.
λίσσομαι, νεῦσον Κρονίων, ἅμερον



Agedum, postea AEtnæ regi gratum excogitemus hymnum. * Cui vrbem illam cum diuinitus fundatã libertate, Doricæ libræ in legibus Hieron condidit. volunt autem Pamphyli atque etiam Heraclidarum posteri, sub pręcipitiis Taygeti habitantes Dorienses, semper manere in legibus AEgimii. Obtinuerunt autem Amyclas fortunati ex Pindo proruentes, albis equis insidentium Tyndaridarum celeberrimi vicini, quorum hastæ gloria floruit. * O Iupiter effice autem semper talem fortunam, Amenæ ad aquam, ciuibus & regibus. vt diiudicent veram famam hominum. Tua ope dux filióque imperans, populúmque decorans, conuertat concordem in tranquillitatẽ. Supplex oro, annue Saturnie, pacificam

ὄφρα κατ' οἶκον ὁ Φοί-
νιξ, ὁ Τυρσανῶν τ' ἀλαλατὸς ἔχῃ,
ναυσίστονον ὕβριν ἰδὼν
τὰν πρὸ Κύμας,

ἐπῳ. κώ. ιε.

οἷα Συρακοισίων ἀρ-
χῷ δαμασθέντες πάθον
ὠκυπόρων ἀπὸ ναῶν:
ὅς σφιν ἐν πόντῳ βάλεθ' ἁλικίαν,
Ἑλλάδ' ἐξέλκων βαρείας
δουλείας. αἱρέομαι
πὰρ μὲν Σαλαμῖνος Ἀθηναίων χάριν
μισθόν· ἐν Σπάρτᾳ δ' ἐρέω τὰν
πρὸ Κιθαιρῶνος μάχαν,
ταῖσι Μήδειοι κάμον ἀγκυλότοξοι.
πὰρ δὲ γε τὰν εὔυδρον ἀκτὰν
Ἱμέρα, παίδεσσιν ὕμνον
Δεινομένεος τελέσαις·
τὸν ἐδέξαντ' ἀμφ' ἀρετᾷ,
πολεμίων ἀνδρῶν καμόντων.

στροφ. ε. κώλ. ιϛ.

« καιρὸν εἰ φθέγξαιο, πολλῶν
« πείρατα συντανύσαις
« ἐν βραχεῖ, μείων ἕπεται



vt domum Phœnix Tyrrhenorúmque strepitus obtineat, nauibus lacrymabilem cladem intuitus, quæ *fuit* ante Cumam, * qualia à Syracusanorum duce domiti passi sunt velocibus à nauibus. Qui ipsis in mare proiecit ætate *florentes milites*, Græciam eripiens ex graui seruitute. Amplector à Salamine quidem Atheniensium gratiam mercedē: apud Spartam autem dicā ante Cithæronem *commissam* pugnam: in quibus Medi laborauerunt curuorū arcuū gestatores. at verò apud pulchrè aquosam ripā Himeræ, filiis Dinomenis hymnum conficiens, quē adepti sunt per virtutem hostibus viris cæsis. «
* Opportunè si loquaris, «
multarum rerum summas «
complicans in paucis, mi- «
nor sequitur

« μῶμος ἀνθρώπων. ἀπὸ γὰρ κόρος ἀμ-
« αἰανὴς ταχείας ἐλπίδας. [βλύνει
« ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύ-
« νει, μάλιστ' ἐσλοῖσιν ἐπ' ἀλλοτρίοις.
« ἀλλ' ὅμως (κρέσσων γὰρ οἰκτιρμῶν φθό-
μὴ παρίει καλά. νώ- [νος)
μα δικαίῳ πηδαλίῳ στρατόν. ἀ-
ψευδεῖ δὲ πρὸς ἄκμονι χάλ-
κευε γλῶσσαν.

ἀντιστρ. κῶλ. ιϛ.

εἴ τι καὶ φλαῦρον παραιθύσ-
σει, μέγα τοι φέρεται
πὰρ σέθεν. πολλῶν ταμίας
ἐσσί. πολλοὶ μάρτυρες ἀμφοτέροις πι-
εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων, [στοί.
εἴπερ τι φιλεῖς ἀκοὰν ἁδεῖαν ἀ-
εὶ κλύειν, μὴ κάμνε λίαν δαπάναις.
ἐξίει δὲ, ὥστε κυβερνάτας ἀνὴρ,
ἱστίον ἀνεμόεν.
μὴ δολωθῇς φίλε κέρδεσιν εὐτραπέ-
« λοις. ὀπιθόμβροτον αὔ-
« χημα δόξας,

ἐπῳδ. κῶλ. ιε.

οἶον ἀποιχομένων ἀν-



reprehensio hominum. satietas enim continua hebetat celeres mentes. ciuiúmque aures clàm animum angunt maximè ob bona aliena. Veruntamen (potior enim commiseratione inuidia) ne prætermittas honesta. guberna iusto clauo populũ, veracémque ad incudẽ fabrica linguam. * Si *enim* quicquam leuis etiam momenti abs te eruperit, magnum *pondus* obtinet. Multorum es dispensator: multi testes *sunt* ambobus fide digni. At generosis in moribus permanens si amas famam dulcem semper audire, ne defatigeris nimium sumptibus: sed expande vt gubernator vir velum ventosum. Ne decipiaris amice lucris scurrilibus. Retrò mortales *sequens* gloriatio laudis * sola mortuorum vi-

« δρῶν δίαιταν μανύει
« καὶ λογίοις καὶ ἀοιδοῖς.
« οὐ φθίνει Κροίσου φιλόφρων ἀρετά.
« τὸν δὲ ταύρῳ χαλκέῳ καυ-
« τῆρα νηλέα νόον,
« ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις.
« οὐδέ μιν φόρμιγγες ὑπω-
« ρόφιαι κοινωνίαν
« μαλθακὰν παίδων ὀάροισι δέχονται.
« τὸ δὲ παθεῖν εὖ, πρῶτον ἀέθλων·
« εὖ δ' ἀκούειν, δευτέρα μοῖ-
« ρ'· ἀμφοτέροισι δ' ἀνὴρ
« ὃς ἂν ἐγκύρσῃ καὶ ἕλῃ,
« στέφανον ὕψιστον δέδεκται.

## ΤΩι ΑΥΤΩι ΙΕΡΩνι, ἅρματι.

## Εἶδος Β.

στρο. α, κῶ. ιε.

Μεγαλοπόλιες ὦ Συρά-
κοσαι, βαθυπολέμου
τέμενος Ἄρεος, ἀνδρῶν



rorum vitam indicat & per scriptores prosæ orationis & per poetas. Non interit Crœsi virtus comitate prædita. At tauro æneo combustorem, immitem animo, odiosa Phalarin tenet vbique fama. Neque ipsum citharę domesticæ *in* consortium suaue puerorum sermonibus admittunt. Cæterùm fortunam prosperam consequi, præcipuum est inter præmia. Benè audire autem, secunda felicitas. In vtrumque autem vir qui inciderit & obtinuerit, coronam altissimam accepit.

## EIDEM HIERONI, curru *victoriam adepto.*

## Ode II.

GRandi vrbes ô Syracusæ bellicosi delubrum Martis, hominum

Universidad de Deusto Biblioteca



ἵππων τε σιδαροχαρμᾶν
δαιμόνιαι τροφοί,
ὔμμιν τόδε τᾶν λιπαρᾶν ἀπὸ Θηβᾶν
φέρων μέλος ἔρχομαι,
ἀγγελίαν τετραορίας ἐλελίχθονος,
ἅρματος Ἱέρων ἐν ᾧ κρατέων,
τηλαυγέσιν ἀνέδησεν Ορ-
τυγίαν στεφάνοις,
ποταμίας ἕδος Ἀρτέμιδος.
τᾶς οὐκ ἄτερ, κείνας ἀγαναῖσιν ἐν
χερσὶ ποικιλανίους
ἐδάμασσε πώλους.

ἀντιστρ. κῶλ. ιε.

ἐπὶ γὰρ ἰοχέαιρα παρ-
θένος χερὶ διδύμᾳ,
ὅ,τ' ἐναγώνιος Ἑρμᾶς,
αἰγλᾶντα τίθησι κόσμον,
ξεστὸν ὅταν δίφρον,
ἔν θ' ἅρματα πεισιχάλινα καταζεύ-
γνύῃ σθένος ἵππιον,
ὀρσοτρίαιναν, εὐρυβίαν καλέων θε-
ὄν. ἄλλοις δέ τις ἐτέλεσσεν ἄλλος ἀνὴρ
εὐαχέα βασιλεῦσιν ὕ-
μνον, ἄποιν' ἀρετᾶς.



equorúmque ferro gaudentium diuinæ alumnę, vobis hoc fertilibus à Thebis afferens carmen venio, nuntium quadrigarum quatientium tellurem. In quibus Hieron curru felix, victoria potiens latè splendentibus redimiuit Ortygiam coronis, fluuialis sedem Dianæ. Qua non sine, illius placidis in manib⁹, variegatis habenis *ornatos* domuit equos. * Nã sagittis gaudens virgo, manu gemina, certaminúmque præses Mercurius radiantem imponit ornatum, quando politas ad bigas, & ad currus habenis obedientes iũxerit robur equinum, tridẽtis impulsorẽ præpotentem inuocans Deum. Alijs autem aliquis alius vir confecit canorum regibus hymnum, præmia virtutis.

κελαδέοντι μὲν ἀμφὶ Κινύ-
ραν πολλάκις φᾶμαι Κυπρίων, τὸν ὁ
χρυσοχαίτας προφρόνως
ἐφίλασ' Ἀπόλλων,

ἐπῳ. κῶ. ιδ.

ἱερέα κτίλον Ἀφροδίτας·
« ἄγει δὲ χάρις φίλων
« ποίπνυος ἀντὶ ἔργων
« ὀπιζομένα. σὲ δ' ὦ Δεινομένειε παῖ,
Ζεφυρία πρὸ δόμων
Λοκρὶς παρθένος ἀπύει, πο-
λεμίων καμάτων ἐξ ἀμαχάνων,
διὰ τεὰν δύναμιν δρακεῖσ' ἀσφαλές.
« θεῶν δ' ἐφετμαῖσιν
« Ἰξίονα φαντὶ ταῦτα
« βροτοῖς λέγειν, ἐν πτερόεντι τροχῷ
« παντᾶ κυλινδόμενον,
« τὸν εὐεργέταν ἀγαναῖς ἀμοιβαῖς
« ἐποιχομένους τίνεσθαι,

στρο. β. κῶ. ιε.

ἔμαθε δὲ σαφές. εὐμενέ-
σι γὰρ παρὰ Κρονίδαις
γλυκὺν ἑλὼν βίοτον, μα-
κρὸν οὐχ ὑπέμεινεν ὄλβον,



*Nam* resonant quidem
circum Cinyram sæpe
sermones Cypriorum,
quem auricomus pro-
pensè dilexit Apollo, *sa-
cerdotem Veneris *velut
quendam* arietem ducem
gregis. Impellit autem *ad* »
*hoc faciendum* gratia be- »
neuolis remuneratrix pro »
factis sequens. Te verò ô »
Dinomenie fili, Zephyria
ante ædes Locrensis vir-
go resonat, bellicos post
labores immensos, per
tuas vires intuens securi-
tatem. Deorum autem »
mandatis Ixionem aiunt »
hæc mortalibus dicere, »
dum in alata rota circun- »
quaque volutatur, bene- »
factorem placidis remu- »
nerationibus excipientes »
persoluere *gratiam*. »
* Didicit autem rem cer-
tam. propitios enim apud
Saturni filios dulcem na-
ctus vitam, longam non
sustinuit felicitatem.

Universidad de Deusto Biblioteca



μαινομέναις φρεσίν,
Ἥρας ὅτ' ἐράσσατο, τὰν Διὸς εὐναὶ
λάχον πολυγαθέες. [νον
ἀλλά νιν ὕβρις ἐς ἀυάταν ὑπεράφα-
ωρσε. τάχα δὲ παθὼν ἐοικότ' ἀνήρ,
ἐξαίρετον ἕλε μόχθον. αἱ
δύο δ' ἀμπλακίαι
φερέπονοι τελέθοντι· τὸ μὲν
ἥρως ὅτι τ' ἐμφύλιον αἷμα πρώ-
τιστος οὐκ ἄτερ τέχνας
ἐπέμιξε θνατοῖς·

ἀντιστροφή, κῶλ. ιε.

ὅτι τε μεγαλοκευθέεσ-
σιν ἔν ποτε θαλάμοις,
Διὸς ἄκοιτιν ἐπειρᾶ-
το. χρὴ δὲ καθ' αὐτὸν αἰεὶ
παντὸς ὁρᾶν μέτρον.
εὐναὶ δὲ παράτροποι ἐς κακότατ' ἀ-
θρόαν ἔβαλον ποτὶ
καὶ τὸν ἵκοντ', ἐπεὶ νεφέλᾳ παρελέξατο,
ψεῦδος γλυκὺ μεθέπων ἄϊδρις ἀνήρ·
εἶδος γὰρ ὑπεροχωτάτᾳ
πρέπεν οὐρανιᾶν
θυγατέρι Κρόνου, ἅντε δόλον



quum furiosa mente Iunonem deperiit, quam Iouis strata sortita sunt multum iucunda: sed eum insolentem petulantia in damnum impulit. Mox enim passus consentanea vir *ille*, exquisitam sustinuit ærumnam. Duę autem culpę ærumnę portatrices sunt. vna, quòd heros cognatum sanguinem primus non sine fraude miscuit inter homines: *altera*, quòd in magna penetralia habentibus thalamis vxorem Iouis tentauerat. Oportet autē vnumquenque secundum se semper cuiuslibet rei considerare modulum. Concubitus autem peruersi in calamitatem coniecerunt etiam hunc accedentem, postquam cum nube concubuit, mendacium dulce consectans inscius vir. Forma enim *illa nubes*, excellentissimæ par erat cælesti filiæ Saturni. quam *nubem* fraude

αὐτῷ θέσαν Ζηνὸς παλάμαι καλὸν
πῆμα. τὸν δὲ τετράκνα-
μον ἔπραξε δεσμόν,

ἐπῳδὸς κῶ. ιδ.

ἑὸν ὄλεθρον ὅγ'. ἐν δ' ἀφύκτοι-
σι γυιοπέδαις πεσών,
τὰν πολύκοινον ἀνεδέ-
ξατ' ἀγγελίαν· ἄνευ δ' οἱ Χαρίτων
γόνον ὑπερφίαλον, [τέκε
μόνα καὶ μόνον, οὔτ' ἐν ἀνδρά-
σι γερασφόρον, οὔτ' ἐν θεῶν νόμοις,
τὸν ὀνύμαξε τράφοισα Κένταυρον, ὃς
ἵπποισι Μαγνη-
τίδεσσι ἐμίγνυτ' ἐν Πα-
λίου σφυροῖς. ἐκ δ' ἐγένοντο στρατὸς
θαυμαστὸς, ἀμφοτέροις
ὁμοῖοι τοκεῦσι· τὰ ματρόθεν μὲν
κάτω, τὰ δ' ὕπερθε, πατρός.

στροφὴ γ. κῶ. ιε.

» θεὸς ἅπαν ἐπὶ ἐλπίδε-
» σσι τέκμαρ ἀνύεται.
» θεὸς ὁ καὶ πτερόεντ' αἰ-
» ετὸν κίχε, καὶ θαλασσαῖ-
» ον παραμείβεται



structam manus Iouis ei fecerant pulchram perniciem. Quadriradium autem vinculum fecit,

* suum exitium. in compedes igitur membra irretientes & effugium nõ habentes prolapsus, multum communem accepit rumorem. Sine Gratiis autem ipsi peperit prolem superbam sola & solum, neque inter homines honorem consequentem, neque in deorum legibus. quem ea quæ aluerat nominauit Centaurum, qui cum equabus Magnesiis concubuit in Pelii vallibus. Nati sunt igitur gens mirabilis, ambobus similes parentibus, quæ à matre, *erant* infernè: at quæ supernè *erant*, patris.

* Deus omnem pro votis »
exitum peragit. deus *in-* »
*quam* qui & alatam aqui- »
lam assequitur, & mari- »
num præuertitur »

Universidad de Deusto Biblioteca

« δελφῖνα, καὶ ὑψιφρόνων τιν' ἔκαμψε
« βροτῶν· ἑτέροισι δὲ [ὼν
« κῦδος ἀγήραον παρέδωκ'. ἐμὲ δὲ χρε-
« φεύγειν δάκος ἀδινὸν κακαγοριᾶν.
« εἶδον γὰρ ἑκὰς ἐὼν τὰ πόλ-
« λ' ἐν ἀμαχανίᾳ
« ψογερὸν Ἀρχίλοχον, βαρυλό-
« γοις ἔχθεσιν πιαινόμενον. τὸ πλου-
« τεῖν δὲ σὺν τύχᾳ πότμου
« σοφίας, ἄριστον.

ἀντιστρ. κῶλ. ιε.

τὺ δὲ σάφα νιν ἔχεις ἐλευ-
θέρᾳ φρενὶ πεπαρεῖν
πρύτανι, κύριε πολλᾶν
μὲν εὐστεφάνων ἀγυιᾶν
καὶ στρατοῦ. εἰ δέ τις
ἤδη κτεάτεσσί τε καὶ περὶ τιμᾷ
λέγει ἕτερόν τιν' ἀ- [ρον,
ν' Ἑλλάδα τῶν πάροιθε γενέσθαι ὑπέρτε-
χαύνᾳ πραπίδι παλαιμονεῖ κενεά.
εὐανθέα δ' ἀναβάσομαι
στόλον ἀμφ' ἀρετᾷ
« κελαδέων. νεότατι μὲν ἀ-
« ρήγει θράσος δεινῶν πολέμων· ὅθεν



delphina: atque aliquem elatos animos habentium mortalium contudit, aliis autem decus senii expers dedit. At me opus est fugere morsum tristem, maledicentiam. Vidi enim procul existens, sępe in angustiis, conuitiatorem Archilochum, dum maledicis odiis pinguefieret. At diuitias habere cum felicitate sortis sapientiæ, præstantissimum. * Tu autem certò eas potes libera mente suppeditare, dispensator, domine multorum vicorum benè cinctorum *muris velut* coronis, & numerosæ gentis. Quòd si quis iam diuitiis & honore dicit alium quempiam in Græcia eorum qui antè *fuerunt*, extitisse superiorem, obtusa cum mente conflictatur & futili. Conscendam igitur amœnam classem, de virtute *Hieronis* sonans. Iuuentuti quidem auxiliatur audacia circa grauia bella. Vnde

φαμὶ καὶ σὲ ταὶν ἀπεί-
ρονα δόξαν εὑρεῖν,
ἐπῳ. κῶ. ιδ.
τὰ μὲν ἐν ἱπποσόαισιν ἀνδρά-
σι μαρνάμενον, τὰ δ' ἐν
πεζομάχαις· βουλαὶ
δὲ πρεσβύτεραι, ἀκίνδυνον ἐμοὶ ἔπι
ποτὶ πάντα λόγον
ἐπαινεῖν παρέχοντι. χαῖ-
ρε· τόδε μὲν κατὰ Φοίνισσαν ἐμπολὰν
μέλος ὑπὲρ πολιᾶς ἁλὸς πέμπεται·
τὸ Καστόρειον
δ' ἐν Αἰολίδεσσι χορδαῖς
θέλων, ἄθρησον χάριν ἑπτακτύπου
φόρμιγγος ἀντόμενος,
γένοιο δ' οἷος ἐσσὶ, μαθών· καλός τι
πίθων, παρὰ παισὶν αἰεὶ
στροφὴ α. κῶ. ιε.
καλός. ὁ δὲ Ῥαδάμανθυς εὖ
πέπραγεν, ὅτι φρενῶν
ἔλαχε καρπὸν ἀμώμη-
τον, οὐδ' ἀπάταισι θυμὸν
τέρπεται ἔνδοθεν,
οἷα ψιθύρων παλάμαις ἕπετ' αἰεὶ



dico te quoque immensam gloriam nactum esse, *partim quidem in equestribus pugnis cum viris præliantem, partim in pedestribus pugnis. Consilia autem *tua* senilia, tutũ mihi carmen ad omnem sermonem, vt *te* laudem, præbent, Salue. hoc quidem carmen more Phœniciæ negotiationis super canum mare mittitur. Castoreũ autem in Æolicis fidibus si velis, considera gratiam septisonæ citharæ consequutus. Sis autem qualis es, vbi didiceris *id ex me*: pulchra sanè simia apud pueros semper * pulchra. Rhadamanthus autem felix fuit, quia mentis sortitus est fructum inculpatum, neque dolis animum oblectatur intus qualia susurronum artes sequuntur semper

" βροτῶν. ἄμαχον κακὸν
" ἀμφοτέροις, διαβολιᾶν ὑποφάτιες,
" ὀργαῖς ἀτενὲς ἀλωπέκων ἴκελοι.
" κέρδει δὲ, τί μάλα τοῦτο κερ-
" δαλέον τελέθει;
ἅτε γὰρ ἐνάλιον πόνον ὀ-
χείσας βαθὺ σκευᾶς ἑτέρας, ἀβά-
πτιστός εἰμι, φελλὸς ὣς,
ὑπὲρ ἕρκος ἅλμας.

ἀντιστρ. κῶλ. ιε.

" ἀδύνατον δ' ἔπος ἐκβαλεῖν
" κραταιὸν ἐν ἀγαθοῖς
" δόλιον ἀστόν. ὅμως μὰν
" σαίνων ποτὶ πάντας, ἄγαν
" πάγχυ διαπλέκει.
" οὔ οἱ μετέχω θράσεος. φίλον εἴη
" φιλεῖν· ποτὶ δ' ἐχθρὸν, ἅ- [μαι
" τ' ἐχθρὸς ἐὼν, λύκοιο δίκαν ὑποθεύσο-
" ἄλλ' ἄλλοτε πατέων, ὁδοῖς σκολιαῖς.
" ἐν πάντα δὲ νόμον εὐθύγλωσ-
" σος ἀνὴρ προφέρει,
" παρὰ τυραννίδι, χ' ὡπόταν ὁ
" λαυρὸς στρατὸς, χ' ὥταν πόλιν οἱ σο-
" τηρέοντι. χρὴ δὲ πρὸς [φοὶ



mortalium. inexpugnabile ma- »
lum ambobus, calumniarum »
sublocutores, moribus impen- »
sè vulpium similes. [Quantum »
ad lucrum autem, quid magno-
perè hoc lucrosum est *ipsis*? Ego
enim sum immersabilis vt su-
ber super maris superficiem,
*qui sit* instrumenti alterius ma-
rinum laborem sustinentis pro-
fundè. * Impossibile est autem »
verbum emittere validum inter »
probos ciuem dolosum. verun- »
tamen adulans omnibus valdè »
prorsus implicat *sermones*. Nō »
eius sum particeps audaciæ. A- »
micum contingat amare: ad- »
uersus inimicum autem, vt ho- »
stis existens, lupi more concur- »
ram, alia aliâs *loca* perambu- »
lans viis obliquis. In omni »
autem regimine, rectilinguis »
vir antecellit, *videlicet* & apud »
dominatum vnius, & quum »
impetuosa multitudo, & quum »
prudentes custodiam agunt. O- »
portet autem aduersus »

Universidad de Deusto Biblioteca

Universidad de Deusto Biblioteca

« θεὸν οὐκ ἐρίζειν·

ἐπῳ. κώ. ιδ.

« ὃς ἀνέχει ποτὲ μὲν τὰ κείνων·
« τότε δ' αὖθ' ἑτέροις ἔδω-
« κε μέγα κῦδος. ἀλλ' οὐ-
« δὲ ταῦτα νόον ἰαίνει φθονερῶν. στάθμας
« δέ τινος ἑλκόμενος
« περισσᾶς, ἐνέπαξεν ἕλ-
« κος ὀδυναρὸν ἑᾷ πρόσθε καρδίᾳ,
« πρὶν ὅσα φροντίδι μηχανῶνται τυχεῖν.
« φέρειν δ' ἐλαφρῶς
« ἐπαυχένιον λαβόντα
« ζυγὸν, ἀρήγει· ποτὶ κέντρον δέ τοι
« λακτιζέμεν, τελέθει
« ὀλισθηρὸς οἶμος. ἀδόντα δ' εἴη
« με τοῖς ἀγαθοῖς ὁμιλεῖν.

## ΤΩι ΑΥΤΩι ΙΕΡΩνι, κέλητι.

## Εἶδος Γ.

στροφὴ α. κώ. ιγ.

ΗΘελον Χείρωνά κε Φιλλυρείδαν
εἰ χρεὼν τοῦθ' ἁμετέρας ἀπὸ γλώσ-



deum non contendere, *qui stabilit aliâs quidem res illorum, aliâs autem aliis tribuit magnum decus. Sed neque hæc mentem oblectant inuidorum. Verùm à libra aliqua qui trahitur eximia, infixit hulcus dolorificum suo prius cordi, quam quæ cogitatione molitur, assequatur. Ferre autem leuiter super ceruicem iugum, quum sumpseris, prodest: at contra stimulum calcitrare, est lubrica via. Canentem autem *me* contingat consuetudinem cum probis habere.

## EIDEM HIEroni, celete *uictoriam adepto.*

## Ode III.

VElim Chironem Phillyridē (si fas hoc è nostra lin-

σαις κοινὸν εὔξασθαι ἔπος,
ζώειν τὸν ἀποιχόμενον,
Οὐρανίδα γόνον εὐ-
ρυμέδοντα Κρόνου.
βάσσαισί τ' ἄρχειν Γαλίου
φῆρ' ἀγρότερον,
νόον ἔχοντ' ἀνδρῶν φίλον· οἷ-
ος ἐὼν ἔθρεψέ ποτε
τέκνον Ἀνωδυνίας
ἥμερον γυιαρκέος Ἀσκλαπιὸν,
ἥρωα παντοδαπᾶν ἀλεκτῆρα νούσων.

ἀντιστρ. κῶλ. ιγ.

τὸν μὲν εὐίππου Φλεγύα θυγάτηρ,
πρὶν τελέσσαι ματροπόλῳ σὺν Ἐλει-
θυίᾳ, δαμεῖσα χρυσέοις
τόξοισιν ὑπ' Ἀρτέμιδος,
εἰς Ἀΐδαο δόμον ἐν
θαλάμῳ κατέβα,
« τέχναις Ἀπόλλωνος. χόλος
« δ' οὐκ ἀλίθιος
« γίνεται παίδων Διός. ἁ
δ' ἀποφλαυρίξασά μιν
ἀμπλακίαισι φρενῶν,
ἄλλον αἴνησε γάμον, κρύβδαν πατρὸς,



gua commune optare verbum ) reuiuiscere mortuũ, prolem latê potentem Vranidæ Saturni, vallibúsque imperare Pelii feram agrestem, mentem habentem hominum amicam: qualis existens nutriit olim filium suauem Incolumitatis mẽbris vegetæ AEsculapium, heroem omnigenorum propulsatorem morborum.

* quem boni equitis Phlegyæ filia, priusquam *negotium suum* confecisset cum Lucina circa matres versante domita aureis sagittis à Diana, in Plutonis ædes in thalamo descendit, Apollinis technis. Ira e- »
nim non vana est filiorum »
Iouis. Ipsa autem quum »
floccifecisset eum, errore mentis, aliis nuptiis assensit clam patre,

Universidad de Deusto Biblioteca



πρόσθεν ἀκερσεκόμᾳ μιχθεῖσα Φοίβῳ,

ἐπῳδὸς κώλ. ιε.

καὶ φέροισα σπέρμα θεοῦ καθαρόν,
οὐκ ἔμειν' ἐλθεῖν τράπεζαν νυμφιδίαν,
οὐδὲ παμφώνων ἰαχὰν
ὑμεναίων, ἅλικες
οἷα παρθένοι φιλέοισιν ἑταῖραι
ἑσπερίαις ὑποκου-
ρίζεσθ' ἀοιδαῖς· ἀλλά τοι
ἤρατο τῶν ἀπεόν-
των, οἷα καὶ πολλοὶ πάθον.
« ἔστι δὲ φῦλον ἐν ἀν-
« θρώποισι ματαιότατον,
« ὅστις αἰσχύνων ἐπιχώ-
« ρια, παπταίνει τὰ πόρσω,
« μεταμώνια θη-
« ρεύων ἀκράντοις ἐλπίσιν.

στροφὴ β. κώλ. ιγ.

ἔσχε τοιαύταν μεγάλαν ἀυάταν
καλλιπέπλου λῆμα Κορωνίδος, ἐλ-
θόντος γὰρ εὐνάσθη ξένου
λέκτροισιν ἀπ' Ἀρκαδίας.
οὐδ' ἔλαθε σκοπόν· ἐν
δ' ἄρα μηλοδόκῳ



prius intonso mixta Phœbó, & * ferens semen Dei purum, non expectauit dum veniret mensa sponsalis, nec omnisonorum clamor hymenæorum, coætaneæ vt virgines sociæ solent *in* vespertinis cantibus dicere iuuenilibus iocis sed amore capta fuit absentium: qualia etiam multi passi sunt. Est autem genus hominum stultissimum *eorum* qui vituperantes *quæ sunt* indigena, circunspic iunt *quæ sunt* vlterius, vana consectantes irrita spe. * Habuit talem magnam calamitatem pulchrè vestitæ fastus Coronidis. Nam cubuit in stratis hospitis qui aduenerat ex Arcadia. neque latuit speculatorem: sed in receptrice ouium *mactatarum*

Universidad de Deusto Biblioteca

Πυθῶνι πόσ' ἐσάϊε
ναοῦ βασιλεὺς
Λοξίας, κοινῶνι παρ' εὐ-
θυτάτῳ γνώμαν πεπιθών,
πάντα ἴσαντι νόῳ.
ψευδέων δ' οὐχ ἅπτεται, κλέπτει τέ μιν
οὐ θεὸς, οὐ βροτὸς, ἔργοις, οὔτε βουλαῖς.

ἀντιστρ. κῶλ. ιγ.

καὶ τότε γνοὺς Ἴσχυος Εἰλατίδα
ξενίαν κοίταν ἄθεμίν τε δόλον,
πέμψε κασιγνήταν μένει
θύοισαν ἀμαιμακέτῳ
ἐς Λακέρειαν· ἐπεὶ
παρὰ Βοιβιάδος
κρημνοῖσιν ᾤκει παρθένος.
δαίμων δ' ἕτερος
ἐς κακὸν τρέψαις ἐδαμά-
σατό νιν, καὶ γειτόνων
πολλοὶ ἐπαῦρον, ἁμᾶ
δ' ἔφθαρε· πολλάν τ' ὄρει πῦρ ἐξ ἑνὸς
σπέρματος ἐνθορὸν ἀΐστωσεν ὕλαν.

ἐπῳ. κῶλ. ιε.

ἀλλ' ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ
σύγγονοι κούραν, σέλας δ' ἀμφέδραμε



Pythone illa omnia sensit tẽpli rex Loxias, socium apud rectissimum quum opinionem *de Coronide* persuasisset *sibi*, omniſciam mentem. Mendacia autem non attingit, fallítque eum non deus, non mortalis, factis neque consiliis. *Tunc quoque vbi cognouit Ischyis Elatidæ peregrinum concubitum, nefariámque fraudem, misit sororem furentem animi ardore impetuosissimo in Laceriam: quoniam ad Bœbiadis ripas habitabat virgo. dæmon autem alter ad malum qui impulerat, perdidit eam, & ex vicinis multi participes fuerunt *exitÿ Coronidis* simúlque perierunt: ac *velut* ignis in monte ex vno semine prosiliens, magnam vastauit syluam.

* Sed postquam pyra collocarunt in lignea cognati puellam, fulgórque circumcurrit

Universidad de Deusto
Biblioteca

λάβρον Ἁφαίστου, τότ᾽ ἔει-
πεν Ἀπόλλων, οὐκέτι
τλάσομαι ψυχᾷ γένος ἁμὸν ὀλέσσαι
οἰκτροτάτῳ θανάτῳ,
ματρὸς βαρείᾳ σὺν πάθᾳ.
ὣς φάτο· βάματι δ᾽ ἐν
πρώτῳ κιχὼν, παῖδ᾽ ἐκ νεκροῦ
ἅρπασε. καιομένα
δ᾽ αὐτῷ διέφαινε πυρά.
καί ῥά μιν Μάγνητι φέρων
πόρεν Κενταύρῳ, διδάξαι
πολυπήμονας ἀν-
θρώποισιν ἰᾶσθαι νόσους.

στρο. γ. κῶ. ιγ.

Τοὺς μὲν ὅσσοι μόλον αὐτοφύτων
ἑλκέων ξυνάονες, ἢ πολιῷ
χαλκῷ μέλη τετρωμένοι,
ἢ χερμάδι τηλεβόλῳ,
ἢ θερινῷ πυρὶ περ-
θόμενοι δέμας, ἢ
χειμῶνι, λύσαις ἄλλον ἀλ-
λοίων ἀχέων
ἔξαγεν· τοὺς μὲν μαλακαῖς
ἐπαοιδαῖς ἀμφέπων,



impetuosus Vulcani, tum dixit Apollo, Non amplius sustinebo animo genus meum perdere miserabilissima nece, matris graui cum calamitate. Sic dixit: gressúque in primo quum attigisset *locum*, puerum è cadauere eripuit: ardens autem ipsi pyra flammam suam diuisit. Illum igitur Magnesio adducens commisit Centauro, ad docendum multinocuos hominibus sanare morbos. * Eos itaque quotquot venerunt *ad ipsum* spontè natorum hulcerum participes, aut corusco ferro membra sauciati, aut saxo eminus misso, vel quibus æstiuus ignis depopulabatur corpus, aut frigus: liberans alium aliis doloribus eripuit: quosdam mollibus incantationibus tractans,

Universidad de Deusto Biblioteca

τοὺς δὲ προσανέα πί-
νοντας, ἢ γυίοις περάπτων πάντοθεν
φάρμακα, τοὺς δὲ τομαῖς ἔστασεν ὀρθούς.

ἀντιστρ. κώλ. ιγ.

« ἀλλὰ κέρδει καὶ σοφία δέδεται.
ἔτραπε κἀκεῖνον ἀγάνορι μι-
σθῷ, χρυσὸς ἐν χερσὶ φανεὶς,
ἄνδρ' ἐκ θανάτου κομίσαι
ἤδη ἑαλωκότα. χερσὶ δ' ἄρα Κρονίων
ῥίψαις δι' ἀμφοῖν ἀμπνοὰν ·
στέρνων καθεῖλεν
ὠκέως, αἴθων δὲ κεραυ-
νὸς ἐνέσκηψε μόρον.
« χρὴ τὰ ἐοικότα πὰρ
« δαιμόνων μαστευέμεν θναταῖς φρεσὶ,
« γνόντας τὸ πὰρ ποδὸς, οἵας εἰμὲν αἴσας.

ἐπῳ. κώλ. ιε.

« μὴ φίλα ψυχὰ βίον ἀθάνατον
« σπεῦδε, τὰν δ' ἔμπρακτον ἄντλει μα-
εἰ δὲ σώφρων ἄντρον ἔναιεν [χανάν.
ἔτι Χείρων, καί τι οἱ
φίλτρον ἐν θυμῷ μελιγάρυες ὕμνοι
ἁμέτεροι τίθεν, ἰ-
ατῆρά τοι κέν μιν πίθον



quosdam verò lenia biben-
tes, aut membris circum-
ponens vndique pharmaca,
quosdam etiam sectioni-
bus, stare fecit rectos. * Ve- »
rum lucro etiam prudentia »
irretitur. Peruertit illum »
quoque ingenti mercede
aurum in manibus appa-
rens, virum à morte vt re-
duceret iam captum. Quare
manibus Saturnius iacu-
latus *fulmen* per amborum
pectora, respirationem ade-
mit statim, ardénsque *eius*
*fulmen* irruens immisit mor
tem. Oportet consentanea »
à diis quærere mortalibus »
mentibus, cognoscentes »
quod ante pedes, cuius si- »
mus sortis. * Ne anime »
mi, vitam immortalem mo- »
liaris, sed aggredere opera »
quibus agendis par sis. Si »
autem prudens specum ha-
bitaret adhuc Chiron, &
aliquas ei illecebras in ani-
mo suauisoni hymni nostri
poneren̄t, ipsi vtiq; persuasissē

Universidad de Deusto Biblioteca

καί νυν ἐσλοῖσι παρα-
σχεῖν ἀνδράσι θερμᾶν νούσων,
ἤ τινα Λατοΐδα
κεκλημένον, ἢ πατέρος.
καί κεν ἐν ναυσὶ μόλον, Ἰ-
ονίαν τέμνων θάλασσαν,
Ἀρέθουσαν ἐπὶ κράναν,
παρ᾽ Αἰτναῖον ξένον,

στροφὴ δ. κῶλ. ιγ.

ὃς Συρακόσσαισι νέμει, βασιλεὺς
πραῢς ἀστοῖς, οὐ φθονέων ἀγαθοῖς,
ξείνοις δὲ θαυμαστὸς πατήρ.
τῷ μὲν διδύμας χάριτας,
εἰ κατέβαν, ὑγίει-
αν ἄγων χρυσέαν,
κῶμόν τ᾽ ἀέθλων Πυθίων,
αἴγλαν στεφάνοις,
τοὺς ἀριστεύων Φερένι-
κος ἕλε Κίῤῥα ποτὲ,
ἀστέρος οὐρανίου
φαμὶ τηλαυγέστερον κείνῳ φάος
ἐξικόμαν κε, βαθὺν πόντον περάσαις.

ἀντιστρ. κῶλ. ιγ.

ἀλλ᾽ ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω



nunc quoque bonis præbere viris *seipsum* medicum calidorum morborum aut aliquem Latoidæ vocatum *filium*, aut patris *Apollinis videlicet Iouis.* atque adeo in nauibus venissem, Ionium secans mare, Arethusam ad fontem, ad AEtnæum hospitem, *qui Syracusis imperat, rex lenis ciuibus, non inuidens bonis, hospitibúsque suspiciendus pater. Ad quem si descendissem, geminas gratias afferens, *videlicet* sanitatem auream, & hymnum certaminum Pythicorum: *qui esset* splendor coronis quas fortissimè omnium se gerens Pherenicus *equus eius* consequutus est apud Cirrham aliquando: stella cælesti (dico) splendidius illi lumen venissem, profundo mari traiecto. * Sed vota facere ego volo

Universidad de Deusto Biblioteca

ματρὶ, τὰν κοῦραι παρ' ἐμὸν πρόθυρον
σὺν Πανὶ μέλποντι θαμὰ
σεμνὰν θεὸν ἐννύχιαι.
εἰ δὲ λόγων συνέμεν
κορυφὰν Ἱέρων
ὀρθὰν ἐπίστᾳ, μανθάνων
οἶσθα προτέρων,
« ἓν παρ' ἐσλὸν πήματα σύν-
« δυο δαίονται βροτοῖς
« ἀθάνατοι. τὰ μὲν ὦν
« οὐ δύνανται νήπιοι κόσμῳ φέρειν,
« ἀλλ' ἀγαθοὶ, τὰ καλὰ τρέψαντες ἔξω. »

ἐπῳδ. κῶλ. ιε.

τὶν δὲ μοῖρ' εὐδαιμονίας ἕπεται.
λαγέταν γάρ τοι τύραννον δέρκεται,
εἴ τιν' ἀνθρώπων, ὁ μέγας
« πότμος. αἰὼν δ' ἀσφαλὴς
« οὐκ ἔγεντ' οὔτ' Αἰακίδᾳ παρ Πηλεῖ,
« οὔτε παρ' ἀντιθέῳ
« Κάδμῳ· λέγονταί γε μὰν βροτῶν
ὄλβον ὑπέρτατον οἳ
σχεῖν, οἵτε καὶ χρυσαμπύκων
μελπομενᾶν ἐν ὄρει
Μοισᾶν, καὶ ἐν ἑπταπύλοις



matri, quam venerabilem
Deam puellæ iuxta meum
vestibulum cum Pane ce-
lebrant frequenter per no-
ctem. Verum si sermonum
intelligere summam rectã
nosti, edoctus à prioris se-
culi hominibus, scis *quod* »
vnum ad bonum mala bi- »
na partiuntur mortalibus »
immortales. Sed ea stulti »
non possunt moderatè fer- »
re: at sapientes *ea ferunt*, »
bona obuertentes extrà.
* Te verò sors felicitatis
consequitur. rectorem e-
nim populorum regem *te*
intuetur (si quem ex homi-
nibus) potens fortuna. sed-
enim, vita extra pericu-
lum posita non contigit
nec AEacidæ Peleo neque
diuino Cadmo. Dicuntur
tamẽ illi mortaliũ felicitatẽ
supremam habuisse, qui &
Musas aureis reticulis redi
mitas canẽtes in monte &
in septẽ portas habentibus

ἀΐον Θήβαις, ὁπότ' Ἁρ-
μονίαν γάμε βοῶπιν·
ὁ δὲ Νηρέος εὐ-
βούλου Θέτιν παῖδα κλυτάν.

στροφ. ε, κῶ. ιγ.

καὶ θεοὶ δαίσαντο παρ' ἀμφοτέροις·
καὶ Κρόνου παῖδας βασιλῆας ἴδον
χρυσέαις ἐν ἕδραις, ἕδνα τε
δέξαντο. Διὸς δὲ χάριν
ἐκ προτέρων μεταμει-
ψάμενοι καμάτων,
ἔστασαν ὀρθὰν καρδίαν.
ἐν δ' αὖτε χρόνῳ,
τὸν μὲν ὀξείαισι θύγα-
τρες ἐρήμωσαν πάθαις
εὐφροσύνας μέρος αἱ
τρεῖς· ἀτὰρ λευκωλένῳ τε Ζεὺς πατὴρ
ἤλυθεν ἐς λέχος ἱμερτὸν Θυώνᾳ.

ἀντιστρ. κῶλ. ιγ.

τοῦ δὲ παῖς, ὅν περ μόνον ἀθανάτα
τίκτεν ἐν Φθίᾳ Θέτις, ἐν πολέμῳ
τόξοις ἀπὸ ψυχὰν λιπών,
ὦρσεν πυρὶ καιόμενος
ἐκ Δαναῶν γόον. εἰ



audiuerunt Thebis, quando *Cadmus* Harmoniam vxorem duxit bouinis oculis *speciosam*: ille autem *Peleus* Nerei valentis consilio Thetin filiam inclytam. * Quinetiam dii epulati sunt apud vtrosque, & Saturni filios reges viderunt *Cadmus & Peleus* aureis in sedibus, donáque nuptialia acceperunt *ab illis*. Iouis denique beneficio ex prioribus transmutati ærumnis, statuerunt erectum cor. sed rursum procedente tempore, hunc quidem Cadmum] filię tres per grauia infortunia priuarunt lætitiæ sorte: at candidæ brachiis Semelæ Iupiter pater venit in cubile amabile.* illius autem *Peles* filius, quem vnicum immortalis peperit in Phthia Thetis, in bello sagittis animam amittens, excitauit, dum igni cremaretur, gemitum à Græcis. Quòd si

« δὲ νόῳ τις ἔχει
« θνατῶν ἀλαθείας ὁδόν,
« χρὴ πρὸς μακάρων
« τυγχάνοντ' εὖ πασχέμεν. ἄλ-
« λοτε δ' ἀλλοῖαι πνοαὶ
« ὑψιπετᾶν ἀνέμων,
« ὄλβος δ' οὐκ ἐς μακρὸν ἀνδρῶν ἔρχεται,
« ὃς πολὺς, εὖτ' ἂν ἐπιβρίσαις ἕπηται.
ἐπῳ. κῶ. ιε. [λοις
« σμικρὸς ἐν σμικροῖς, μέγας ἐν μεγά-
« ἔσσομαι. τὸν δ' ἀμφέποντ' αἰεὶ φρεσὶν
« δαίμον' ἀσκήσω, κατ' ἐμὰν
« θεραπεύων μαχανάν.
« εἰ δέ μοι πλοῦτον θεὸς ἁβρὸν ὀρέξαι,
« ἐλπίδ' ἔχω κλέος εὑ-
« ρέσθαι κεν ὑψηλὸν πρόσω.
« Νέστορα καὶ Λύκιον
« Σαρπηδόν', ἀνθρώπων φάτις
« ἐξ ἐπέων κελαδεν-
« νῶν, τέκτονες οἷα σοφοὶ
« ἅρμοσαν. γινωσκόμενα
« δ' ἀρετὰ κλειναῖς ἀοιδαῖς,
« χρονία τελέθει,
« παύροις δὲ πράξασθ' εὐμαρές.



quis ex hominibus in animo »
habet veritatis viam, oportet »
*eum* à beatis *diis* consequu- »
tum prosperam fortunam, »
frui *sua* felicitate. Nam aliâs »
alii sunt flatus altè volan- »
tium ventorum, felicitásque »
hominum nō accedit in lon- »
gum *permansura*. Quæ qui- »
dem quandocunque ingens »
graui cū pondere *me* sequuta »
fuerit, paruus inter paruos, »
magnus inter magnos ero. »
Semper autem ad eam fortu- »
nam quę me amplectetur, *me-* »
*en* animo accōmodabo, iuxta »
meam facultatem colens *e-* »
*am*. Quòd si mihi diuitias »
deus speciosas dederit, spem »
habeo gloriam me nacturū »
altam in longinquū. Nesto- »
rem & Lycium Sarpedonem »
hominū fama habet ex ver- »
sibus sonoris: quales compe- »
gerunt fabri periti. Nā quæ »
cognoscitur virtus per incly- »
tos cantus, diuturna est: sed »
paucis *id facere* facile *est*. »



Universidad de Deusto Biblioteca

Universidad de Deusto Biblioteca

## ΑΡΚΕΣΙΛΑΩι ΚΥρηναίῳ ἅρματι.

### Εἶδος Δ.

στροφὴ α, κῶλ. ιδ.

Σάμερόν μὲν χρή σε παρ' ἀνδρὶ φίλῳ
στᾶμεν εὐίππου βασιλῆϊ Κυρά-
νας, ὄφρα κωμάζοντι σὺν Ἀρκεσίλᾳ
Μοῖσα, Λατοΐδαισιν ὀφειλόμενον
Πυθῶνί τ' αὔξῃς οὖρον ὕμνων.
ἔνθα ποτὲ χρυσέων
Διὸς αἰετῶν πάρεδρος,
οὐκ ἀποδάμου Ἀπόλλω-
νος τυχόντος, ἱέρεια
χρῆσεν οἰκιστῆρα Βάττον
καρποφόρου Λιβύας, ἱερὰν
νᾶσον ὡς ἤδη λιπὼν,
κτίσσειεν εὐάρματον
πόλιν ἐν ἀργινόεντι μαστῷ.

ἀντιστροφὴ κῶλ. ιδ.

καὶ τὸ Μηδείας ἔπος ἀγκομίσαι.
ἑβδόμᾳ καὶ σὺν δεκάτᾳ γενεᾷ,
Θήραιον Αἰήτα τό ποτε ζαμενὴς



## ARCESILAO Cyrenæo curru victoriam adepto.

### Ode IIII.

Hodie oportet te apud virũ amicũ stare, equestris regem Cyrenes, vt choreas ducente cum Arcesila, ô Musa, Latoidis debitũ Pythonique provehas ventum prosperum hymnorum. vbi olim ea quæ aureis Iouis aquilis assidet sacerdos, quũ absens non esset Apollo, oraculo suo pronũtiauit conditorem *fore* Battum frugiferæ Libyæ. sacra insula vt iam relicta conderet curribus præstantem ciuitatem in albo vbere *terræ*,* & Medeæ vaticinium reportaret, cum septima & decima generatione, apud Theram editum. quod AEetæ olim periracunda

παῖς ἀπέπνευσ' ἀθανάτου στόματος,
δέσποινα Κόλχων, εἶπε δ' οὕτως
ἡμιθέοισιν Ἰά-
σονος αἰχμήταο ναύταις·
κέκλυτε παῖδες ὑπερ-
θύμων τε φωτῶν καὶ θεῶν.
φαμὶ γὰρ τᾶσδ' ἐξ ἁλιπλάκ-
του ποτὲ γᾶς Ἐπάφοιο κόραν
ἀστέων ῥίζαν φυτεύ-
σεσθαι μελησίμβροτον,
Διὸς ἐν Ἄμμωνος θεμέθλοις.

ἐπῳ. κώ. ιγ.

ἀντὶ δελφίνων δ' ἐλαχυπτερύγων,
ἵππους ἀμείψαντες θοάς,
ἁνία τ' ἀντ' ἐρετμῶν,
δίφρους τε νωμάσσοισιν ἀελλόποδας.
κεῖνος ὄρνις ἐκτελευτά-
σει μεγάλαν πολίων ματρόπολιν
Θήραν γενέσθαι· τόν ποτε
Τριτωνίδος ἐν προχοαῖς
λίμνας, θεῷ ἀνέρι εἰδομένῳ,
γαῖαν διδόντι ξείνια,
πρῴραθεν Εὔφαμος καταβαίς,
δέξατ'. αἴσιον δ' ἐπί οἱ Κρονίων



filia efflauit immortali ab ore, domina Colchorum. dixit autem ita Semideis Iasonis bellicosi nautis: Audite filii magnanimorúmque hominum & deorum. dico enim ex hac mari percussa terra filiam Epaphi aliquando vrbium radicem plantaturam esse, quæ sit curæ mortalibus, Iouis in Ammonis fundamentis. *Pro delphinibus autem paruas habentibus *pinnas tanquam* alas, equas permutantes veloces, habenásque pro remis, currus regent celeripedes. Illud augurium efficiet magnarum vrbium metropolin esse Theram. quod aliquando Tritonidis paludis in fluentis, Euphemus, quum è prora descendisset ad deum homini assimulatum, terram dantem pro xeniis, accepit. faustum autem super eo Saturnius

Ζεὺς πατὴρ ἔκλαγξε βρονταῖς,

στρο. β. κῶλ. ιδ.

αἶψ' ἄγκυραν ποτὶ χαλκόγενυν
ναῒ κρημναίτων ἐπέπασε, θοᾶς
Ἀργοῦς χαλινόν. δώδεκα δὲ πρότερον
ἁμέρας ἐξ Ὠκεανοῦ φέρομεν.
νώτων ὕπερ γαίας ἐρήμων,
ἐνάλιον δόρυ, μή-
δεσιν ἀνασπάσαντες ἁμοῖς·
τουτάκι δ' οἰοπόλος
δαίμων ἐπῆλθε, φαιδίμαν
ἀνδρὸς αἰδοίου πρόσοψιν
θηκάμενος. φιλίων δ' ἐπέων
ἄρχετο, ξένοις ἅτ' ἐλ-
θόντεσσιν εὐεργέται
δεῖπν' ἐπαγγέλλοντι πρῶτον.

ἀντιστρ. κῶλ. ιδ.

ἀλλὰ γὰρ νόστου πρόφασις γλυκεροῦ
κώλυε μεῖναι· φάτο δ' Εὐρύπυλος
γαιαόχου παῖς ἀφθίτου ἐννοσίδα
ἔμμεναι. γίγνωσκε δ' ἐπειγομένους.
ἂν δ' εὐθὺς ἁρπάξαις ἀρούρας
δεξιτερᾷ, προτυχὸν
ξείνιον μάστευσε δοῦναι.

Universidad de Deusto Biblioteca



Iupiter pater cum fragore edidit tonitru: * quando anchoram ferreas malas habéntem in naue suspendentibus fortè superuenit, citæ Argûs frænum. Duodecim autem prius dies extra Oceanum portabamus super dorsa terræ deserta marinam machinam consiliis quum extraxissemus nostris. Tunc autem soliuagus deus superuenit qui induerat illustrem viri venerabilis faciem., amicósque sermones ordiebatur, hospitibus vt aduenientibus benefici cœnam denuntiant primùm. * Verumenimvero dulcis reditus opportunitas prohibuit manere. Dicebat autem ille se esse Eurypylũ, terrã cõtinentis filiũ immortalis cõcussoris. animaduertebat autẽ *nos* festinãtes. quare quũ subitò arripuisset tellurẽ dextra, obuiũ xenium quæsiuis dare

οὐδ' ἀπίθησέ νιν, ἀλ-
λ' ἥρως ἐπ' ἀκταῖσι θορών,
χειρί οἱ χεῖρ' ἀντερείσαις,
δέξατο βώλακα δαιμονίαν.
πεύθομαι δ' αὐτὰν κατα-
κλυσθεῖσαν ἐκ δούρατος,
ἐναλίαν βᾶμεν σὺν ἅλμᾳ,

ἐπῳ. κῶ. ιγ.

ἑσπέρας ὑγρῷ πελάγει σπομέναν.
ἦ μάν μιν ὄτρυνον θαμὰ
λυσιπόνοις θεραπόν-
τεσσι φυλάξαι. τῶν δ' ἐλάθοντο φρένες.
καί νυν ἐν τᾷδ' ἄφθιτον νά-
σῳ κέχυται Λιβύας εὐρυχόρου
σπέρμα πρὶν ὥρας. εἰ γὰρ οἴ-
κοι νιν βάλε πὰρ χθόνιον
Ἀΐδα στόμα Ταίναρον εἰς ἱερὰν
Εὔφαμος ἐλθών, υἱὸς ἱπ-
πάρχου Ποσειδάωνος ἄναξ,
τόν ποτ' Εὐρώπα Τιτυοῦ θυγάτηρ
τίκτε Καφισοῦ παρ' ὄχθαις,

στροφὴ γ. κῶλ. ιδ.

τετράτων παίδων κ' ἐπιγινομένων,
αἷμά οἱ κείναν λάβε σὺν Δαναοῖς



Nec verò immoriger *recusaunt* heros, sed in littora prosiliens manu manum eius quum firmasset, accepit glebam admirandam. Audio autem eam submersam ê naui, marina coiuisse *& se permiscuisse* cũ salsugine, *Hesperium humidum pelagus sequutam. At ego hortabar identidem famulos qui liberant ꝯlaboribus, vt eã custodirent: sed eorum oblitæ sunt mentes. Et nunc in hac insula immortale fusum est Libyæ spatiosæ semen ante tempus. si enim domi eam proiecisset iuxta terrestre Orci ostium veniens Euphemus (filius præsidis equitum Neptuni, rex, quem aliquando Europa Tityi filia peperit Cephisi iuxta ripas) *quartis liberis prognatis, sanguis eius eam obtinuisset cum Danais

Universidad de Deusto Biblioteca

εὐρεῖαν ἄπειρον. τότε γὰρ μεγάλας
ἐξανίστανται Λακεδαίμονος, Ἀρ-
γείου τε κόλπου, καὶ Μυκηνᾶν.
νῦν γε μὰν ἀλλοδαπᾶν
κριτὸν εὑρήσει γυναικῶν
ἐν λέχεσι γένος· οἵ
κεν τάνδε σὺν τιμᾷ θεῶν
νᾶσον ἐλθόντες, τέκωνται
φῶτα κελαινεφέων πεδίων
δεσπόταν· τὸν μὲν πολυ-
χρύσῳ ποτ' ἐν δώματι
Φοῖβος ἀμνάσει θέμισσι,

ἀντιστρ. κῶ. ιδ.

Πύθιον ναὸν καταβάντα, χρόνῳ
δ' ὑστέρῳ νάεσσι πολεῖς ἀγαγεῖν
Νείλοιο πρὸς πῖον τέμενος Κρονίδα.
ἦ ῥα Μηδείας ἐπέων στίχες. ἔ-
πταξαν δ' ἀκίνητοι σιωπᾷ,
ἥρωες ἀντίθεοι,
πυκινὰν μῆτιν κλύοντες.
ὦ μάκαρ υἱὲ Πολυ-
μνάστου, σὲ δ' ἐν τούτῳ λόγῳ
χρησμὸς ὤρθωσε Μελίσσας
Δελφίδος αὐτομάτῳ κελάδῳ.



amplam continentem terram. Tūc enim magna summouentur Lacedęmone, Argiuóque sinu & Mycenis. Nunc verò peregrinarum selectum inueniet mulierum in lectis genus. qui in hanc insulam cum honore Deorum quum venerint, pariét virum nigrinubium camporum dominum quem diuite auri quondam in æde Phœbus admonebit oraculis,

* (ad Pythium templum quum ille accesserit) vt tempore sequenti in nauibus multos deducat Nili ad pingue delubrum Saturnii. Sanè Medeæ verborum *hæc fuit* series. Tremefacti autem fuerunt immoti *cum* silentio heroes diuini, prudens consilium audientes. O beate fili Polymnesti, te verò in hac oratione oraculum erexit sacerdotis Delphicæ, spontanea voce.

ἅ σε χαίρειν εἰς τρὶς αὐ-
δάσαισα, πεπρωμένον
βασιλέ' ἄμφανε Κυράνας,

ἐπῳ. κώ. ιγ.

δυσθρόου φωνᾶς ἀνακρινόμενον
ποινὰ τίς ἔσται πρὸς θεῶν.
ἦ μάλα δὴ μετὰ καὶ
νῦν, ὥστε φοινικανθέμου ἦρος ἀκμᾷ,
παισὶ τούτοις ὄγδοον θάλ-
λει μέρος Ἀρκεσίλας· τῷ μὲν Ἀπόλ-
λων ἅ, τε Πυθὼ κῦδος ἐξ
Ἀμφικτυόνων ἔπορεν
ἱπποδρομίας. ἀπὸ δ' αὐτὸν ἐγὼ
Μοίσαισι δώσω, καὶ τὸ πάγ-
χρυσον νάκος κριοῦ. μετὰ γὰρ
κεῖνο πλευσάντων Μινυᾶν, θεόπομ-
ποί σφισι τιμαὶ φύτευθεν·

στρο. δ. κώ. ιδ.

Τίς γὰρ ἀρχὰ δέξατο ναυτιλίας;
Τίς δὲ κίνδυνος κρατεροῖς ἀδάμαν-
τος δῆσεν ἅλοις; θέσφατον ἦν Πελίαν
ἐξ ἀγαυῶν Αἰολιδᾶν θανέμεν,
χείρεσσιν ἢ βουλαῖς ἀκνάμπτοις.
ἦλθε δέ οἱ κρυόεν



Quæ te saluere quum ter iussisset, fato destinatum regem declarauit Cyrenes. * dum percontareris quæ liberatio futura esset, deorum auxilio, à loquela durisona. Et nunc sanè Arcesilas inter liberos hos octaua pars floret, vt purpureos flores habentis veris in vigore. cui Apollo & Pytho gloriam per Amphictyonas præbuerunt cursus equestris. ipsum autem Musis tradam, & totum aureum vellus arietis. Ad illud enim quum nauigassent Minyæ, à deo missi ipsis honores plantati fuerunt. * Quódnam porrò initium susceptum fuit nauigationis? quod verò periculum validis adamátis alligauit *eos* clauis? fatale erat Pelian ab illustribus AEolidis cadere, manib⁹ aut cõsiliis inflexibilibus. Venit autem horrendum

πυκινὸν μάντευμα θυμῷ,
πὰρ μέσον ὀμφαλὸν εὐ-
δένδροιο ῥηθὲν ματέρος,
τὸν μονοκρήπιδα πάντως
ἐν φυλακᾷ σχεθέμεν μεγάλᾳ,
εὖτ' ἂν αἰπεινῶν ἀπὸ
σταθμῶν ἐς εὐδείελον
χθόνα μόλῃ κλειτᾶς Ἰωλκοῦ

ἀντιστρ. κῶλ. ιδ.

ξεῖνος αἴτ' ὦν ἀστός. ὁ δ' ἆρα χρόνῳ
ἵκετ', αἰχμαῖσι διδύμαισιν ἀνὴρ
ἔκπαγλος. ἐσθὰς δ' ἀμφότερόν μιν ἔ-
χεν,
ἅ, τε Μαγνήτων ἐπιχώριος ἁρ-
μόζοισα θαητοῖσι γυίοις·
ἀμφὶ δὲ παρδαλέα
στέγετο φρίσσοντας ὄμβρους·
οὐδὲ κομᾶν πλόκαμοι
κερθέντες οἴχοντ' ἀγλαοί,
ἀλλ' ἅπαν νῶτον καταίθυσ-
σον· τάχα δ' εὐθὺς ἰὼν σφετέρας
ἐστάθη γνώμας ἀταρ-
βάκτοιο πειρώμενος,
ἐν ἀγορᾷ πλήθοντος ὄχλου.



vaticinium prudenti animo eius, editum apud medium vmbilicum matris fœcundæ arboribus, *videlicet* ab vnicum habente calceum omnino cauere diligenter, quum altis è stabulis ad occiduam terram veniret claræ Iolci, *hospes atque ciuis. At ille vir tandem venit hastis geminis terribilis: vestis autem duplex eum cingebat. vna erat Magnesiorum regioni vsitata, conueniens admirandis membris: *altera erat* pellis pardi, quæ coercebat horrorem incutiẽtes imbres. Neque cæsariei capilli tonsi abierant pulchri, sed totum tergũ quatiebant. Statim autem rectà profectus, sui stetit animi intrepidi specimen edens, quum in foro frequens esset turba,

Universidad de Deusto Biblioteca



ἐπῳ. κῶ. ιγ.

τὸν μὲν οὐ γίνωσκον, ὀπιζομένων
δ' ἔμπας τις εἶπεν καὶ τόδε,
οὔ τί που οὗτος Ἀπόλ-
λων, οὐδὲ μὰν χαλκάρματός ἐστι πόσις
Ἀφροδίτας. ἐν δὲ Νάξῳ
φαντὶ θανεῖν λιπαρᾷ Ἰφιμεδεί-
ας παῖδας, Ὦτον, καὶ σὲ τολ-
μάεις Ἐφιάλτα ἄναξ.
καὶ μὰν Τιτυὸν βέλος Ἀρτέμιδος
θήρευσε κραιπνὸν, ἐξ ἀνι-
κάτου φαρέτρας ὀρνύμενον·
ὄφρα τις τᾶν ἐν δυνατῷ φιλοτά-
των ἐπιψαύειν ἔραται.

στροφὴ ε. κῶ. ιγ.

τοὶ μὲν ἀλλάλοισιν ἀμειβόμενοι
γάρυον τοιαῦτ'. ἀνὰ δ' ἡμιόνοις
ξεστᾷ τ' ἀπήνᾳ προτροπάδαν Πελίας
ἵκετο σπεύδων· τάφε δ' αὐτίκα πα-
πτήναις ἀρίγνωτον πέδιλον,
δεξιτερῷ μόνον ἀμ-
φὶ ποδί. κλέπτων δὲ θυμῷ
δεῖμα, προσέννεπε, ποί-
αν γαῖαν ὦ ξεῖν' εὔχεαι



* Eum quidem non agnoscebant, quispiam tamen eorum qui *illum* reuerebantur, dixit & hoc, Neutiquam hic *est* Apollo, neque verò maritus Veneris, qui aureo curru vehitur. In Naxo autem fertili aiunt mortuos esse Iphimedeæ liberos, Otum, & te ô audax Ephialta rex. Quinetiam Tityum telum velox Dianæ confodit *tanquam uenabulum* ex inuicta pharetra prodiens: vt vnusquisque Cupidineas voluptates attingere amet quæ *sint* in possibili.

* Illi quidem se mutuò compellantes loquebantur talia. Mulis autem & polito vehiculo concitatè Pelias venit properans. Obstupuit autem statim quum circunspexisset valdè cognitum *fama* calceum, dextrum tantummodo circa pedem. Occultans tamen animo terrorem, dixit, Quámnam terram, ô hospes gloriaris

Universidad de Deusto Biblioteca

πατρίδ' ἔμμεν, καὶ τίς ἀνθρώ-
πων σε χαμαιγενέων πολιᾶς
ἐξανῆκεν γαστρός; ἐ-
χθίστοισι μὴ ψεύδεσι
καταμιάναις εἰπὲ γένναν.

ἀντιστρ. κῶ. ιδ.

τὸν δὲ θαρσήσαις ἀγανοῖσι λόγοις
ὧδ' ἀμείφθη· φαμὶ διδασκαλίαν
Χείρωνος οἴσειν· ἄντροθε γὰρ νέομαι
πὰρ Χαρικλοῖς καὶ Φιλύρας, ἵνα Κεν-
ταύρου με κοῦραι θρέψαν ἁγναί.
εἴκοσι δ' ἐκτελέσαις
ἐνιαυτοὺς, οὔτ' ἔργον,
οὔτ' ἔπος ἐντράπελον
κείνοισιν εἰπὼν, ἱκόμαν
οἴκαδ', ἀρχὰν ἀγκομίζων
πατρὸς ἐμοῦ, βασιλευομέναν
οὐ κατ' αἶσαν· τάν ποτε
Ζεὺς ὤπασε λαγέτᾳ
Αἰόλῳ καὶ παισὶ τιμάν.

ἐπῳ. κῶλ. γ.

πεύθομαι γάρ μιν Πελίαν ἄθεμιν
λευκαῖς πειθήσαντα φρεσὶν,
ἁμετέρων ἀποσυ-



patriam esse, & quis hominum terrigenûm te pretioso emisit è ventre? Odiosissimis mendaciis non polluens *te*, dic genus *tuum*. *Huic, fiducia sumpta, placidis verbis sic respondit: Aio doctrinam Chironis *me* afferre. Ex antro enim venio, à Chariclone & Philyra, vbi Centauri me filiæ educarunt castæ. Viginti autem à me completis annis, neque factum, neque dictum sordidum illis loquutus, veni domum, imperium repetens patris mei, quod regnatur non secundum ius & æquum. quod olim Iupiter dedit populorum duci Æolo & liberis, *vt esset illis* decus. *Audio enim Peliam iniustum stultæ menti obsequutum, à nostris illud præ-

Universidad de Deusto Biblioteca

λαῦσαι βιαίως ἀρχεδικᾶν τοκέων.
τοί μ', ἐπεὶ πάμπρωτον εἶδον
φέγγος, ὑπερφιάλου ἁγεμόνος
δείσαντες ὕβριν, κᾶδος ὡ-
σεί τε φθιμένου δνοφερὸν
ἐν δώμασι θηκάμενοι, μετὰ κω-
κυτῷ γυναικῶν, κρύβδαν πέμ-
πον σπαργάνοις ἐν πορφυρέοις,
νυκτὶ κοινάσαντες ὁδόν· Κρονίδᾳ
δὲ τραφὲν Χείρωνι δῶκαν.

στροφὴ ϛ. κῶλ. ιϛ.

ἀλλὰ τούτων μὲν κεφάλαια λόγων
ἴστε. λευκίππων δὲ δόμους πατέρων
κεδνοὶ πολῖται φράσατέ μοι σαφέως.
Αἴσονος γὰρ παῖς ἐπιχώριος, οὐ
ξείναν ἱκόμαν γαῖαν ἄλλων.
φὴρ δέ με θεῖος Ἰά-
σονα κικλήσκων προσηύδα.
ὣς φάτο. τὸν μὲν εἰσελ-
θόντ' ἔγνων ὀφθαλμοὶ πατρός.
ἐκ δ' ἄρ' αὐτοῦ πομφόλυξαν
δάκρυα γηραλέων βλεφάρων,
ἂν περὶ ψυχὰν ἐπεὶ
γάθησεν ἐξαίρετον,



datum esse, iustè imperantibus parentibus. Qui me, quumprimum vidi lumen, superbi ducis veriti ferociam, luctum ceu de mortuo quum agitassent cum planctu mulierum, clàm miserunt fasciis in purpureis, quum noctem ad iter sociam accepissent: Saturnique filio Chironi ad alendum dederunt.

* Sed horum sermonum capita tenetis. at domos albis equis insidentium parentum honorandi ciues indicate mihi aperté. AEsonis enim filius indigena, non in peregrinam veni terram aliorum. Semifer autem me diuinus Iasonem vocans compellabat. Sic loquutus est. eum autem ingressum agnouerunt oculi patris, & ex eius senilibus palpebris lacrymæ manarût instar bullarum, suo in animo postquam gauisus est supramodum,

γόνον ἰδὼν κάλλιστον ἀνδρῶν.

ἀντιστροφὴ κῶλ. ιδ.

καὶ κασίγνητοι σφίσιν ἀμφότεροι
ἤλυθον κείνου γε κατὰ κλέος· ἐγ- [γύς
μὲν Φέρης, κράναν Ὑπερηίδα λι- [πὼν
ἐκ δὲ Μεσσάνας Ἀμυθάν. ταχέως
δ' Ἄδματος ἧκε καὶ Μέλαμπος
εὐμενέοντες ἀνε-
ψιόν. ἐν δαιτὸς δὲ μοίρᾳ
μειλιχίοισι λόγοις
αὐτοὺς Ἰάσων δέγμενος,
ξείνι' ἁρμόζοντα τεύχων,
πᾶσαν ἐυφροσύναν τάνυεν,
ἀθρόαις πέντε δραπὼν
νύκτεσσιν ἔν θ' ἁμέραις
ἱερὸν εὐζωᾶς ἄωτον.

ἐπῳ. κῶλ. ιγ.

ἀλλ' ἐν ἕκτᾳ πάντα λόγον θέμενος
σπουδαῖον ἐξ ἀρχᾶς ἀνὴρ,
συγγενέσι πᾶσι κοι-
νᾶθ'· οἱ δ' ἐπέσποντ'. αἶψα δ' ἀπὸ κλι- [σιᾶν
ὦρτο σὺν κείνοισι. καί ῥ' ἦλ-
θον Πελία μέγαρον· ἐσσύμενοι
δ' εἴσω κατέσταν. τῶν δ' ἀκού-



filiũ quũ cõspexisset pulcherrimũ mortaliũ.* Fratres quoque ad eos ambo venerũt illius ad famã ex propinquo quidẽ *loco* Pheres fontẽ Hypereidẽ linquẽs, ex Messina autẽ Amynthã. Cõfestim Admetus quoq; venit & Melãpus, gratulantes patrueli. In conuiuio autem blãdis verbis eos Iason excipiens dona hospitalia parans conuenientia, omnẽ hilaritatem extendit, totis quinq; decerpẽs noctibus & diebus sacrũ bonæ & iucũdę vitæ florẽ. *Sed in sexto omnẽ sermonẽ quũ proposuisset seriũ ab initio ille vir, cũ consanguineis omnibus cõmunicabat. Illi verò sequebantur *& approbabãt dicta eius.* Statim igitur è tentoriis prorupit cũ illis, accesseruntque ad Peliæ ædes, & cum festinatione intrà constiterunt. Eos autẽ au-

Universidad de Deusto Biblioteca

στας αὐτὸς ὑπαντίασε
Τυροῦς ἐρασιπλοκάμου γενεά.
πραῢν δ' Ἰάσων μαλθακᾷ
φωνᾷ ποτιστάζων ὄαρον,
βάλλετο κρηπῖδα σοφῶν ἐπέων.
παῖ Ποσειδῶνος πετραίου,

στρο. ζ. κώ. ιδ.

« ἐντὶ μὲν θνατῶν φρένες ὠκύτεραι
« κέρδος αἰνῆσαι πρὸ δίκας δόλιον,
« τραχεῖαν ἑρπόντων πρὸς ἐπίβδαν δ' ὅ-
ἀλλ' ἐμὲ χρὴ καὶ σὲ θεμισσαμένους [μως·
ὀργὰς, ὑφαίνειν λοιπὸν ὄλβον.
εἰδότι τοι ἐρέω·
μία βοῦς, Κρηθεῖ τε μάτηρ
καὶ θρασυμήδεϊ Σαλ-
μωνεῖ· τρίταισι δ' ἐν γοναῖς
ἄμμες αὖ κείνων φυτευθέν-
τες σθένος ἀελίου χρύσεον
« λεύσσομεν. μοῖραι δ' ἀφί-
« σταντ' εἴ τις ἔχθρα πέλει
« ὁμογόνοις, αἰδῶ καλύψαι.

στροφὴ ε. κώ. ιδ.

οὐ πρέπει νῷν χαλκοτόροις ξίφεσιν,
οὐδ' ἀκόντεσσι μεγάλαν προγόνων



diens ipse obuiam processit, proles Tyrûs studiosæ capillitii. Placidum autem Iason molli voce instillans sermonem, iecit fundamentum sapientum verborum. Fili Neptuni petræi, * sunt ho- »
minum mentes velociores »
ad laudandum lucrum dolo- »
sum præ iustitia, triste eun- »
tium ad tempus sequens ta- »
men. At me oportet & te iu- «
stitiæ accommodantes mores *nostros* texere felicitatem in reliquum *tempus*. Scienti tibi dicam: Vna *eadémque* bucula Cretheóque mater & Salmoneo audacis consilii *viro*: Tertia autem in generatione nos ab illis sati robur solis aureum cernimus.
Felicitas autem abscedit si- »
qua simultas existat inter »
eos qui sunt consanguinei, «
adeo vt tegant pudorem. »
Non decet nos æs perforantibus gladiis neque iaculis magnum progenitorum

Universidad de Deusto
Biblioteca

τιμὰν δάσσασθαι. μῆλά τε γάρ τοι ἐγὼ
καὶ βοῶν ξανθὰς ἀγέλας ἀφίη-
μ', ἀγρούς τε πάντας, τοὺς ἀπούρας
ἁμετέρων τοκέων,
νέμεαι, πλοῦτον πιαίνων.
κού με πονεῖ τεὸν οἶ-
κον ταῦτα πορσύνοντ' ἄγαν,
ἀλλὰ καὶ σκᾶπτον μόναρχον,
καὶ θρόνος, ᾧ ποτε Κρηθεΐδας
ἐγκαθίζων ἱππόταις
εὔθυνε λαοῖσι δίκας.
τὰ μὲν ἄνευ ξυνᾶς ἀνίας

ἐπῳ. κῶλ. ιγ.

λῦσον ἄμμι, μή τι νεώτερον ἐξ
αὐτῶν ἀναστήσῃ κακόν.
ὣς ἄρ' ἔειπεν. ἀκᾶ
δ' ἀνταγόρευσε καὶ Πελίας· ἔσομαι
τοῖος. ἀλλ' ἤδη με γηραι-
ὸν μέρος ἁλικίας ἀμφιπολεῖ·
σὸν δ' ἄνθος ἥβας ἄρτι κυ-
μαίνει. δύνασαι δ' ἀφελεῖν
μᾶνιν χθονίων. κέλεται γὰρ ἑὰν
ψυχὰν κομίξαι Φρίξος, ἐλ-
θόντας πρὸς Αἰήτα θαλάμους,



decus partiri. Pecudes enim ego tibi & boum flaua armenta relinquo, agrósq; omnes, quos postquam eripuisti nostris parentibus, depasceris, diuitias opimas efficiens. Nec verò me angunt hæc domum tuam amplificantia valdè: sed *me angit* & sceptrum monarchicum, & solium, cui olim Cretheides insidens, equestribus gubernabat populis iura. Hæc sine communi molestia * solue nobis, ne quod recentius ex his suscites malum. Sic vtique loquutus est. Placidè autem respondit & Pelias: Ero talis. sed iam me senilis pars ætatis circundat: at tuus flos ętatis feruet ceu fluctus. quare potes auferre iram terrestrium *deorum*. iubet enim Phrixus *me* suam animam referre, profectum ad AEetæ regis ædes,

δέρμα τε κριοῦ βαθύμαλλον ἄγειν,
τῷ ποτ' ἐκ πόντου σαώθη,

στροφ. η. κῶ. ιδ.

ἔκ τε ματρυιᾶς ἀθέων βελέων.
ταῦτά μοι θαυμαστὸς ὄνειρος ἰὼν
φωνεῖ. μεμάντευμαι δ' ἐπὶ Κασταλίᾳ,
εἰ μετάλλατόν τι. καὶ ὡς τάχιστα ὀτρυνεῖ σε τεύχειν ναῒ πομπάν.
τοῦτον ἄεθλον ἑκὼν
τέλεσον· καί τοι μοναρχεῖν
καὶ βασιλευέμεν ὄ-
μνυμι προήσειν. καρτερὸς
ὅρκος ἄμμιν μάρτυς ἔστω
Ζεὺς ὁ γενέθλιος ἀμφοτέροις.
σύνθεσιν ταύταν ἐπαι-
νήσαντες, οἱ μὲν κρίθεν·
αὐτὰρ Ἰάσων αὐτὸς ἤδη

ἀντιστρ. κῶλ. ιδ.

ὤρνυεν κάρυκας, ἐόντα πλόον
φαινέμεν παντᾷ. τάχα δὲ Κρονίδαο
Ζηνὸς υἱοὶ τρεῖς ἀκαμαντομάχαι
ἦλθον, Ἀλκμαίνας θ' ἑλικοβλεφάρου
Λήδας τε· δοιοὶ δ' ὑψιχαῖται
ἀνέρες, ἐννοσίδα



vellúsque arietis villosum afferre, quo aliquando è mari incolumis euasit * à nouercæ impiis telis. Hæc mihi admirandum somnium accedens clamat. Oraculum autem consului apud Castaliam, an sit aliquid quod indagari possit. at * quamcelerrimè hortatur te parare naui profectionem. Hoc certamen vltrò subi, & iuro me permissurum vt monarchiam obtineas & regnes. validum iusiurandum nobis sit testis Iupiter generis author vtrique *nostrûm*. Pactum hoc quum approbassent, ipsi quidem separati sunt: sed Iason ipsemet iam * incitabat præcones ad denuntiandum vbique eam nauigationem quæ esset. Mox igitur Saturnii Iouis filii tres infatigabiles pugnatores venerunt. *videlicet* & Alcmenæ nigra habentis supercilia, Ledæque, & duo altè comati viri, concussoris

σθένος, αἰδεσθέντες ἀλκάν,
ἔκ τε Πύλου καὶ ἀπ' ἄ-
κρας Ταινάρου· τῶν μὲν κλέος
ἐσλὸν Εὐφάμου τ' ἐκεχύνθη,
σόν τε Περικλύμεν' εὐρυβία.
ἐξ Ἀπόλλωνος δὲ φορ-
μικτὰς ἀοιδᾶν πατὴρ
ἔμολεν εὐαίνητος Ὀρφεύς.

ἐπῳδ. κῶλ. ιγ.

πέμπε δ' Ἑρμᾶς χρυσόραπις διδύ-
υἱοὺς ἐπ' ἄτρυτον πόνον· [μους
τὸν μὲν Ἐχίονα, κε-
χλάδοντας ἥβᾳ, τὸν δ' Εὔρυτον. τα-
δ' ἀμφὶ Παγγαίου θέμεθλα [χέες
ναιετέοντες ἔβαν· καὶ γὰρ ἑκὼν
θυμῷ γελανεῖ θᾶσσον ἔν-
τυεν βασιλεὺς ἀνέμων
Ζήταν Κάλαΐν τε πατὴρ Βορέας,
ἄνδρας πτεροῖσι νῶτα πε-
φρίκοντας ἄμφω πορφυρέοις.
τὸν δὲ παμπειθῆ γλυκὺν ἡμιθέοι-
σιν πόθον γ' ἔνδαιεν Ἥρα

στροφὴ θ. κῶ. ιδ.

ναὸς Ἀργοῦς, μή τινα λειπόμενον



*Neptuni* genus, reueriti fortitudinem *suam*, & ex Pylo, & ex suprema Tænaro. Horum quidem gloria summa completa est, *videlicet* Euphemi, tuáque ô Periclymene latè potens. ex Apolline autem citharœdus carminum pater accessit bene laudatus Orpheus. * Misit autem Mercurius aureæ gestator virgæ geminos filios ad insuperabilem laborem: vnum quidem, Echionem, alterum autem, Eurytum, plenos pubertate. statim autem circum Pangæi fundamenta habitantes venerunt: etenim vltrò animo hilari ocyus adornabat rex vẽtorum pater Boreas Zeten & Calain, viros alis terga quatientes ambos purpureis. At Iuno semideis incendebat * nauis Argûs desiderium omnia persuadens, *ita vt* nemo relictus

Universidad de Deusto Biblioteca

τὸν ἀκίνδυνον παρὰ ματρὶ μένειν
αἰῶνα πέσσοντ'· ἀλλ' ἐπὶ καὶ θανάτῳ
φάρμακον κάλλιστον ἑᾶς ἀρετᾶς
ἅλιξιν εὑρέσθαι σὺν ἄλλοις.
ἐς δ' Ἰωλκὸν ἐπεὶ
κατέβα ναυτῶν ἄωτος,
λέξατο πάντας ἐπαι-
νήσαις Ἰάσων. καί ῥά οἱ
μάντις ὀρνίχεσσι καὶ κλά-
ροισι θεοπροπέων ἱεροῖς
Μόψος ἄμβασε στρατὸν
πρόφρων. ἐπεὶ δ' ἐμβόλου
κρέμασαν ἀγκύρας ὕπερθεν,

ἀντιστρ. κῶλ. ιδ.

χρυσέαν χείρεσσι λαβὼν φιάλαν
ἀρχὸς ἐν πρύμνᾳ, πατέρ' Οὐρανιδᾶν
ἐγχεικέραυνον Ζῆνα, καὶ ὠκυπόρους
κυμάτων ῥιπὰς ἀνέμων τ' ἐκάλει,
νύκτας τε καὶ πόντου κελεύθους,
ἄματά τ' εὔφρονα, καὶ
φιλίαν νόστοιο μοῖραν.
ἐκ νεφέων δέ οἱ ἀν-
τεῦσε βροντᾶς αἴσιον
φθέγμα, λαμπραὶ δ' ἦλθον ἀκτῖ-



securum apud matrem æuum maneret coquens, sed & post mortem remedium pulcherrimum suæ virtutis cum aliis coætaneis inueniret. In Iolcum autem postquam *descenderunt nautarũ flos, numerauit omnes Iason, postquam laudasset. & quidem vates auibus & sortibus sacris vaticinans Mopsus prompto animo conscendere fecit exercitum. Postquam autem super rostrum ancoras appenderunt, *auream manibus sumens phialam dux in puppi, patrem cælitum (fulmen pro ense suo habentem) Iouem, & celeriter meantes fluctuum impetus ventorumque inuocabat, noctésque & maris vias, diésque lætificos, & optabilem reditus sortem. E nubibus verò ei vicissim sonuit tonitrui faustavox, splendidíque venerunt ra-

Universidad de Deusto Biblioteca

νες στεροπᾶς ἀπορηγνύμεναι.
ἄμπνοαν δ' ἥρωες ἔ-
στασαν, θεοῦ σάμασι
πιθόμενοι. κάρυξε δ' αὐτοῖς

ἐπῳ. κώ. ιδ.

ἐμβαλεῖν κώπαισι τερασκόπος, ἀ-
δείας ἐνίπτων ἐλπίδας
εἰρεσία δ' ὑπεχώ-
ρησε ταχειᾶν ἐκ παλαμᾶν ἄκορος
σὺν Νότου δ' αὔραις ἐπ' Ἀξεί-
νου στόμα πεμπόμενοι ἤλυθον· ἔν-
θ' ἅγιον Ποσειδάωνος ἕσ-
σαντ' εἰναλίου τέμενος.
φοίνισσα δὲ Θρηϊκίων ἀγέλα
ταύρων ὑπᾶρχεν, καὶ θεό-
κτιστον λίθινον βωμοῖο θέναρ.
ἐς δὲ κίνδυνον βαθὺν ἱέμενοι,
δεσπόταν λίσσοντο ναῶν,

στρο. ι, κῶλ. ιδ.

συνδρόμων κινηθμὸν ἀμαιμάκετον
ἐκφυγεῖν πετρᾶν. δίδυμαι γὰρ ἔσαν
ζωαί, κυλινδέσκοντό τε κραιπνότεραι
ἢ βαρυγδούπων ἀνέμων στίχες. ἀλ-
λ' ἤδη τελευτὰν κεῖνος αὐταῖς



dii ex fulgure erumpentes. Respirationem autem heroes constituerant, Dei signis persuasi. sed præconio imperauit ipsis * incumbere remis prodigiorũ speculator, lætas subindicans spes. Remigatio autem recessit asperis ex manibus insatiabilis, & cum Noti flatibus ad Axeni *ponti* os missi venerunt. Vbi sanctum Neptuni condiderunt marini delubrum. Flauum autem Threiciorum armentum taurorum aderat, & diuinitus ædificata saxea aræ superficies lata. In periculum autem profundum tendentes, dominum orabant nauium, * concurrentium petrarum motum insuperabilem vt effugerent. binæ enim erant viuæ, voluebantur autem velociores quàm grauiter stridentium ventorum agmina. Sed iam mortem ipsis illa

ἡμιθέων πλόος ἄ-
γαγεν. ἐς Φᾶσιν δ' ἔπειτ' ἐ-
λήλυθον ἔνθα κελαι-
νώπεσσι Κόλχοισι βίαν
μῖξαν Αἰήτᾳ παρ' αὐτῷ.
πότνια δ' ὠκυτάτων βελέων
ποικίλαν ἴυγγα τε-
τράκναμον ὀλυμπόθεν
ἐν ἀλύτῳ ζεύξασα κύκλῳ,

ἀντιστρ. κῶλ. ιδ.

μαινάδ' ὄρνιν Κυπρογένεια φέρεν
πρῶτον ἀνθρώποισι· λιτάς τ' ἐπαοι-
δὰς ἐκδιδάσκησεν σοφὸν Αἰσονίδαν·
ὄφρα Μηδείας τοκέων ἀφέλοι-
τ' αἰδῶ, ποθεινὰ δ' Ἑλλὰς αὐτὰν
ἐν φρεσὶ καιομέναν
δονέοι μάστιγι πειθοῦς·
καὶ τάχα πείρατ' ἀέ-
θλων δείκνυε πατρῴων·
σὺν δ' ἐλαίῳ φαρμακώσαι-
σ' ἀντίτομα στερεᾶν ὀδυνᾶν,
δῶκε χρίεσθαι· καταί-
νησάν τε κοινὸν γάμον
γλυκὺν ἐν ἀλλάλοισι μῖξαι.



ſemideorum nauigatio attulit. Phaſin autem poſtea ingreſſi ſunt: vbi terribilibus aſpectu Colchis robur *ſuum* miſcuerunt, apud ipſum Æetem. Domina autem velociſſimorum telorum verſicolorem motacillam è cælo quum alligaſſet rotæ quatuor radiorum indiſſolubili, furioſam auem Cypris attulit primùm ad homines: ſupplicatrícéſque incãtationes docuit ſapientem Æſoniden, vt Medeæ eximeret reuerentiam erga parentes, deſiderabilíſque Græcia ipſam in pectore ardentem verſaret flagello perſuaſionis. & mox exitus certaminum oſtendit paternorum. Cum oleo. enim vbi medicaſſet remedia aduerſus duros dolores, dedit vt vngeretur. Pactíque ſunt communes nuptias dulces inter ſe iungere.



Universidad de Deusto Biblioteca

ἐπῳ. κῶλ. ιγ.

ἀλλ' ὅτ' Αἰήτας ἀδαμάντινον ἐν
μέσσοις ἄροτρον σκίμψατο,
καὶ βόας οἳ φλόγ' ἀπὸ ξανθᾶν γενύ-
ων πνέον καιομένοιο πυρός,
χαλκέαις δ' ὁπλαῖς ἀράσσε-
σκον χθόν' ἀμειβόμενοι, τοὺς ἀγαγὼν
ζεύγλᾳ πέλασσε μοῦνος· ὀρ-
θὰς δ' αὔλακας ἐντανύσαις
ἤλαυν'· ἀναβωλακίας δ' ὀργυ-
ιὰ σχίζε νῶτον γαῖ. ἔει-
πεν δ' ὧδε· τοῦτ' ἔργον βασιλεὺς
ὅστις ἄρχει ναὸς, ἐμοὶ τελέσαις,
ἄφθιτον στρωμναὶ ἀγέσθω,

στροφ. ια. κῶλ. ιδ.

κῶας αἰγλᾶεν χρυσέῳ θυσάνῳ.
ὣς ἄρ' αὐδάσαντος, ἀπὸ κρόκεον
ῥίψαις Ἰάσων εἷμα, θεῷ πίσυνος
εἴχετ' ἔργου. πῦρ δέ νιν οὐκ αἰόλλει
παμφαρμάκου ξείνας ἐφετμαῖς·
σπασάμενος δ' ἄροτρον
βοέοις δήσαις ἀνάγκας
ἔντεσιν αὐχένας. ἐμ-
βάλλων τ' ἐριπλεύρῳ φυᾷ



* Quum igitur AEetes adamantinũ in mediis aratrũ firmasset, & boues qui flammam ardentis ignis è flauis malis efflabant, æreisque vngulis proscindebant tellurẽ, alternatim pedibus insistẽtes: eos adductos admouit iugo solus, rectósque sulcos extendens, agebat. findebat autẽ tergũ terræ sursum glebas attollẽtis *ad profunditatem* orgy r. dixitq; ita, Hoc opus rex qui præest huic naui, mihi quũ perfecerit, immortale stragulũ reportet, *vellus splendidũ aurea fimbria. Sic loquuto *AEeta*, Iason abiecto croceo vestimento, deo fretus, aggrediebatur opus. ignis autẽ ipsum nõ turbabat, ob pręcepta hospitæ veneficæ omnimodę. Quúmq; extraxisset aratrũ, bubulis religauit necessitatis armis colla, immitténsque lateribus naturâ ingentibus

κέντρον αἰανὲς βιατὰς
ἐξεπόνησ' ἐπιτακτὸν ἀνὴρ
μέτρον. ἴυξεν δ' ἀφω-
νήτῳ περ ἔμπας ἄχει
δυνάσιν Αἰήτας ἀγασθείς.

ἀντιστρ. κῶ. ιδ.

πρὸς δ' ἑταῖροι καρτερὸν ἄνδρα φίλας
ὤρεγον χεῖρας· στεφάνοισί τέ μιν
ποίας ἔρεπτον, μειλιχίοις τε λόγοις
ἀγαπάζοντ'. αὐτίκα δ' Ἀελίου
θαυμαστὸς υἱὸς δέρμα λαμπρὸν
ἔννεπεν, ἔνθα νιν ἐκ-
τάνυσαν Φρίξου μάχαιραι.
ἤλπετο δ' οὐκέτι οἱ
κεῖνόν γε πράξασθαι πόνον.
κεῖτο γὰρ λόχμᾳ, δράκοντος
δ' εἴχετο λαβροτάταν γενύων,
ὃς πάχει μάκει τε πεν-
τηκόντορον ναῦν κράτει,
τέλεσαν ἂν πληγαὶ σιδήρου.

ἀντιστρ. κῶλ. ιγ.

μακρά μοι νεῖσθαι κατ' ἀμαξιτόν. ὥ-
ρα γὰρ συνάπτει. καί τινα
οἶμον ἴσαμι βραχύν.



stimulum grauem, violentus absoluit imperatum vir spatium. Ingemuit tamen tacito dolore Æetes robur admiratus.

*Socii autem forti viro amicas porrigebant manus, coronisque herbæ ipsum tegebant, blandisque sermonibus comiter excipiebant. Statim autem Solis admirandus filius vellus splendidum indicauit, vbi ipsum extenderant Phrixi gladii. sperabat autem non amplius ab eo illum confectum iri laborem. Iacebat enim in saltu, draconisque detinebatur vehementissimis genis, qui latitudine longitudinéque nauem quinquaginta remorum superabat, quam confecerant ictus ferri. *Longum mihi redire in viam curruum. hora enim vrget, & quandam viam noui compendiariam:

πολλοῖσι δ' ἅγημαι σοφίας ἑτέροις.
κτεῖνε μὲν γλαυκῶπα τέχναις
ποικιλόνωτον ὄφιν ὦ 'ρκεσίλα·
κλέψεν τε Μήδειαν σὺν αὐ-
τᾶ, τὰν Πελίαο φόνον.
ἔν τ' Ὠκεανοῦ πελάγεσσι μίγεν
πόντῳ τ' ἐρυθρῷ, Λημνιᾶν
τ' ἔθνει γυναικῶν ἀνδροφόνων·
ἔνθα καὶ γυίων ἀέθλοις ἐπεδεί-
ξαντο κρίσιν ἐσθᾶτος ἀμφίς.

στροφ. ιβ, κῶλ. ιδ.

καὶ συνεύνασθεν, καὶ ἐν ἀλλοδαπαῖς
σπέρμ' ἀρούραις τουτάκις ὑμετέρας
ἀκτῖνας ὄλβου δέξατο μοιρίδιον
ἆμαρ, ἢ νύκτες. τόθι γὰρ γένος Εὐ-
φάμου φυτευθὲν, λοιπὸν αἰεὶ
τέλλετο, καὶ Λακεδαι-
μονίων μιχθέντες ἀνδρῶν
ἤθεσιν, ἔν ποτε Καλ-
λίσταν ἀπῴκησαν χρόνῳ
νᾶσον. ἔνθεν δ' ὔμμιν Λατοΐ-
δας ἔπορεν Λιβύας πεδίον
σὺν θεῶν τιμαῖς ὀφέλ-
λειν, ἄστυ χρυσοθρόνου



multísque aliis dux sum sapientiæ *huius*. Interfecit *Iason* technis cęsiocululum versicolore tergo draconem ô Arcesila. Clàm igitur abduxit Medeam cum ea, Peliæ cædem. Et cum Oceani profundis commerciũ habuerunt, marique rubro, Lemniarúmque gente mulierum homicidarum. vbi & membrorum certaminibus exhibuerunt specimẽ, vestis gratia.* & concubuerunt *cum fœminis*. Tunc verò, in peregrinis licet aruis, vestros radios fœlicitatis suscepit fatalis dies vel noctes. Ibi enim genus Euphemi satũ, deinceps semper oriebatur, & Lacedæmoniorum virorum permixti sedibus, successu tẽporis migrarunt in insulam Callistam. Inde vobis Latoïdes dedit Libyæ campum cum deorum honoribus augere, vrbem diuinã aureo throno insidentis

Universidad de Deusto Biblioteca

διανέμειν θεῖον Κυράνας,

ἀντιστρ. κῶλ. ιδ.

ὀρθόβουλον μῆτιν ἐφευρομένοις.
γνῶθι νῦν τὰν Οἰδιπόδα σοφίαν.
εἰ γάρ τις ὄζους ὀξυτόμῳ πελέκει
ἐξερείψαι κεν μεγάλας δρυός, αἰ-
σχύνοι δέ οἱ θαητὸν εἶδος,
καὶ φθινόκαρπος ἐοῖ-
σα διδοῖ ψᾶφον περ' αὐτᾶς,
εἴ ποτε χειμέριον
πῦρ ἐξίκηται λοίσθιον·
ἢ σὺν ὀρθαῖς κιόνεσσι
δεσποσύναισιν ἐρειδομένα,
μόχθον ἄλλοις ἀμφέπει
δύστανον ἐν τείχεσιν,
ἑὸν ἐρημώσαισα χῶρον.

ἐπῳ. κῶλ. ιγ.

ἐσσὶ δ' ἰατὴρ ἐπικαιρότατος,
Γαιάν τέ σοι τιμᾷ φάος.
« χρὴ μαλακὰν χέρα προσ-
« βάλλοντα τρώμαν ἕλκεος ἀμφιπολεῖν.
« ῥάδιον μὲν γὰρ πόλιν σεῖ-
« σαι καὶ φαυροτέροις· ἀλλ' ἐπὶ χώ-
« ρας αὖθις ἕσσαι, δυσπαλὲς



Cyrenes gubernare, recti con sultricem prudentiam adeptis. Cognosce nunc OEdipi sapientiam. Si enim quisquam ramos magnæ quercus acuta securi prosterneret, fœdarétque eius admirandã formam, etiam desinens esse fructifera, daret *tamen* sententiam de seipsa, si quàndo ad hybernum ignem veniret vltimum, aut cum erectis columnis *domus* principis *alicuius*, ad fulciendum posita, laborem grauem alienis sustineret in muris, suum postquam locum desertum reliquisset.

*Tu verò es medicus opportunissimus, Pæánque tibi honòrat vitam. oportet *igitur* mollem manum admouentem, os vulneris tractare. Facile enim vrbem concutere etiam imbecillioribus, sed in sedem *suam* rursum collocare, difficile

Universidad de Deusto Biblioteca

« δὴ γίνεται ἐξαπίνας
« εἰ μὴ θεὸς ἁγεμόνεσσι κυβερ-
« νατὴρ γένηται. τὶν δὲ τού-
των ἐξυφαίνονται χάριτες.
τλᾶθι τᾶς εὐδαίμονος ἀμφὶ Κυρά-
νας θέμεν σπουδὰν ἅπασαν.

στροφὴ, ιγ. κῶλ. ιδ.

τῶν δ' Ὁμήρου καὶ τόδε συνθέμενος
« ῥῆμα, πόρσυν', ἄγγελον ἐσλὸν ἔφα
« τιμὰν μεγίσταν πράγματι παντὶ φέρειν.
« αὔξεται καὶ μοῖσα δι' ἀγγελίας
ὀρθᾶς. ἐπέγνω μὲν Κυράνα
καὶ τὸ κλεεννότατον
Βάττου μέγαρον, δικαίαν
Δαμοφίλου πραπίδαν.
κεῖνος γὰρ ἐν παισὶ νέος,
ἐν δὲ βουλαῖς πρέσβυς, ἐγκύρ-
σαις ἑκατονταετεῖ βιοτᾷ,
ὀρφανίζει μὲν κακὰν
γλῶσσαν φαεννᾶς ὀπὸς,
ἔμαθε δ' ὑβρίζοντα μισεῖν,

ἀντιστρ. κῶλ. ιδ.

« οὐκ ἐρίζων ἀντία τοῖς ἀγαθοῖς,
« οὐδὲ μακύνων τέλος οὐδέν. ὁ γὰρ



sanè est repentè, nisi deus »
principib' gubernator fue- »
rit. Tibi verò harum re- »
rum contexuntur gratiæ.
sustine felicem circum Cy-
renem impendere studium
omne. *Ex Homericis au-
tem & hoc dictum quum
perpenderis, in honore ha-
be. Nuntium bonum dixit »
honorem maximum rei o- »
mni afferre. Augetur etiam »
musa per nuntium bonum. »
Cognouit Cyrene & cele-
berrima Batti domus, iu-
stitiam mentis Demophi-
li. Ille enim inter pueros
iuuenis, in consiliis autem
senex, consequutus cen-
tennale æuum. *quo* priuat
quidem linguæ maledicen-
tiam à pulchra voce *sua*,
didicitque iniuriosum *ho-
minem* odisse, *non con- »
tendens ex aduerso cum »
bonis, neque procrastina- »
tor *est in perducendis rebus* »
*ad* exitum. Nam »

Universidad de Deusto Biblioteca



« καιρὸς πρὸς ἀνθρώπων βραχὺ μέτρον
« εὖ νιν ἔγνωκε, θεράπων δέ οἱ οὐ [ἔχει.
« δράστας ὀπαδεῖ. φαντὶ δ' ἔμμεν
« τοῦτ' ἀνιαρότατον,
« καλὰ γινώσκοντ', ἀνάγκᾳ
« ἐκτὸς ἔχειν πόδα. καὶ
μὰν κεῖνος Ἄτλας οὐρανῷ
προσπαλαίει νῦν γε πατρώ-
ας ἄπο γᾶς, ἄπο τε κτεάνων.
λῦσε δὲ Ζεὺς ἄφθιτος
« Τιτᾶνας. ἐν δὲ χρόνῳ
« μεταβολαὶ, λήξαντος οὔρου,
ἐπῳ. κῶλ. ιγ.
« ἱστίων. ἀλλ' εὔχεται οὐλομέναν
νοῦσον διαντλήσας ποτὲ,
οἶκον ἰδεῖν, ἐπ' Ἀπόλ-
λωνός τε κράνᾳ συμποσίας ἐφέπων,
θυμὸν ἐκδόσθαι πρὸς ἥβαν.
πολλάκις ἔν τε σοφοῖς δαιδαλέαν
φόρμιγγα βαστάζων πολί-
ταις ἡσυχίᾳ θιγέμεν,
μήτ' ὤν τινι πῆμα πορὼν, ἀπαθὴς
δ' αὐτὸς πρὸς ἀστῶν. καί κε μυ-
θήσαιθ' ὁποίαν Ἀρκεσίλα



occasio apud homines breue »
spatium habet. bene eam no- »
uit *Demophilus* & *tanquam* »
famulus non fugax sequitur »
eam. Aiunt autem esse hoc »
molestissimum, res præcla- »
ras scientem, *cogi* necessitate »
extrà habere pedem. Enim-
vero ipse Atlas cum cælo lu-
ctatur nunc patria procul à
tellure, & procul à possessio-
nibus *suis*. at soluit Iupiter
immortalis Titanas. *Sic* »
*contingunt* processu tempo- »
ris mutationes velificatio- »
nis, vbi cessauit secundus »
ventus. * Sed optat, perni- »
ciosum morbum quum ex-
antlauerit tandem, domum
reuisere, Apollinísque iuxta
fontem, conuiuia agitans, a-
nimum dare ad iuuenilem
lætitiam: sæpenumero & in-
ter scitos ciues affabrefactam
citharam gestans in ocio
quieto pulsare, nec cuiquam
damnum inferens, minimé-
que patiens ipse à ciuibus. &
narrare queat Arcesilæ qualẽ

εὗρε παγὰν ἀμβροσίων ἐπέων,
πρόσφατον Θήβᾳ ξεναθείς.

## ΤΩι ΑΥΤΩι ΑΡΚΕ-
## σιλάῳ, ἅρματι.
### Εἶδος Ε.

στρο. α. κῶλ. ιβ.

« Ὁ Πλοῦτος εὐρυσθενής,
« ὅταν τις ἀρετᾷ κεκρα-
« μένον καθαρᾷ βροτήσιος ἀνὴρ,
« πότμου παραδόντος αὐτὸν ἀνάγῃ
« πολύφιλον ἑπέταν,
ὦ θεόμορ' Ἀρκεσίλα.
σύ τοί νιν κλυτᾶς
αἰῶνος ἄκραν βαθμίδων
ἄπο, σὺν εὐδοξίᾳ
μεταμαίεαι, ἕκατι χρυ-
σαρμάτου Κάστορος.
εὐδίαν ὃς μετὰ χειμέριον
ὄμβρον τεὰν καταιθύσ-
σει μάκαιραν ἑστίαν.



inuenerit fontem diuiuorum versuum, nuper Thebis hospitio exceptus.

## EIDEM ARCE-
## silao curru *uictoriam* *adepto.*
### Ode V.

Diuitiæ latè potētes *sunt* »
quum aliquis virtute »
temperatas pura mortalis »
vir, Fortuna tradente, ipsas »
auget, *quæ sunt* comites mul- »
tos amicos *conciliantes*, ô »
sortem diuinitus adepte Ar- »
cesila, tu vtique eas à summis gradibus inclyti æui *tui*, cum gloria exerces, in gratiam Castoris qui aureo curru vehitur, qui hybernum post imbrem, tranquillitatem in domum tuam beatam coruscat.



Universidad de Deusto Biblioteca

ἀντιστρ. κῶλ. ιδ.

« σοφοὶ δ' ἔτι κάλλιον
« φέρονται καὶ τὰν θεόσ-
« δοτον δύναμιν. σὲ δ' ἐρχόμενον ἐν
δίκᾳ πολὺς ὄλβος ἀμφινέμεται·
τὸ μὲν, ὅτι βασιλεὺς
ἐσσὶ μεγάλαν πολίων,
ἔχει συγγενὴς
δ' ὀφθαλμὸς αἰδοιέστατον
γέρας, τεᾷ τοῦτο μι-
γνύμενον φρενί. μάκαρ δὲ καὶ
νῦν, κλεεννᾶς ὅτι
εὖχος ἤδη παρὰ Πυθιάδος
ἵπποις ἑλὼν, δέδεξαι
τόνδε κῶμον ἀνέρων,

ἐπῳ. κῶλ, ιδ.

Ἀπολλώνιον ἄθυρμα. τῷ μή
σε λαθέτω Κυράνα,
γλυκὺν ἀμφὶ κᾶπον
Ἀφροδίτας ἀειδόμενον,
« παντὶ μὲν θεὸν αἴτιον ὑπερτιθέμεν·
φιλεῖν δὲ Κάρρωτον ἔξοχ' ἑταίρων,
ὃς οὐ τὰν Ἐπιμηθέος
ἄγων ὀψινόου θυγατέρα Προ-



*Sapientes autem adhuc » pulchrius ferunt & à deo » datam potentiam. Te » verò incedentem per iustitiam magna felicitas amplectitur: partim quòd rex sis magnarum vrbium, habet oculus congenitus honoratissimum præmium, tuæ id admixtum prudentiæ. Beatus autem & nunc, gloriosa quòd decus iam à Pythia de equis adeptus, accepisti hunc chorealem hymnum virorum *saltatorum*, * Apollineum ludicrum. Ideo non te lateat Cyrene dulcem circa hortum Veneris quod cantatur. Omni quidem rei » deum authorem super- » ponere *oportet*: diligere » autem Carrotum eximiè supra socios, qui non Epimethei afferens sero-sapientis filiam Ex-

Universidad de Deusto Biblioteca

φασιν, Βαττιδᾶν
ἀφίκετο δόμοις θεμισκρεόντων·
ἀλλ' ἀριαθάρματον,
ὕδατι Κασταλίας
ξενωθεὶς, γέρας ἀμ-
φέβαλε τεαῖσι κόμαις,

στρο. β. κῶ. ιδ.

ἀκηράτοις ἀνίαις
ποδαρκέων δωδεκα-
δρόμων τέμενος. κατέκλασε γὰρ ἐν-
τέων σθένος οὐδέν· ἀλλὰ κρέμαται
ὁπόσα χεριαρᾶν
τεκτόνων δαιδάλματ' ἄγων,
Κρισαῖον λόφον
ἄμειψεν ἐν κοιλόπεδον
νάπος θεοῦ· τό σφ' ἔχει
κυπαρίσσινον μέλαθρον ἀμ-
φ' ἀνδριάντι σχεδὸν,
Κρῆτες ὃν τοξοφόροι τέγει
Παρνασσίῳ καθέσσαν-
το, μονόδροπον φυτόν.

ἀντιστρ. κῶ. ιδ.

ἑκόντι τοίνυν πρέπει
νόῳ τὸν εὐεργέταν



cusationem, Battiadarum peruenit domos iura colentium. sed apud aquam Castaliæ hospitio exceptus, præmium præstantissimo curru partum imposuit tuis comis, * incorruptis habenis delubrum *curruum* duodecies cursum iterantium velocibus pedibus percurrens. Fregit enim instrumentorum robur nullum, sed pendent quæcunque fabrorum compingentium manibus artificia elegantia afferens, Crisæum ad collem peruenit, ad cauum campum Dei. quem *currum* ipsis habet cupressinum atrium, prope statuam quam Cretenses sagittarii in cacumine Parnassio collocarunt, plantam vnicum habentem truncum.

* Spontanea igitur decet mente benefactori

ὑπαντιάσαι. Ἀλεξιβιάδα,
σὲ δ' ἠΰκομοι φλέγοντι χάριτες.
μακάριος, ὃς ἔχεις
καὶ μετὰ μέγαν κάματον,
λόγων φερτάτων
μναμήϊον. ἐν τεσσαράκον-
τα γὰρ πετόντεσσιν ἁ-
νιόχοισιν, ὅλον δίφρον κομί-
ξαις ἀταρβεῖ φρενί,
ἦλθες ἤδη Λιβύας πεδίον,
ἐξ ἀγλαῶν ἀέθλων,
καὶ πατρῴαν πόλιν.

ἐπῳ. κῶλ. ιδ.

« πόνων δ' οὔτις ἀπόκλαρός ἐστιν,
« οὔτ' ἔσεται. ὁ Βάττου
δ' ἕπεται παλαιὸς
ὄλβος, ἔμπας τὰ καὶ τὰ νέμων,
πύργος ἄστεος, ὄμμα τε φαεννότατον
ξένοισι. κεῖνόν γε καὶ βαρύκομποι
λέοντες περὶ δείματι
φεῦγον, γλῶσσαν ἐπεί σφιν ἀπένεικεν
ὑπερποντίαν.
ὁ δ' ἀρχαγέτας δῶκεν Ἀπόλλων
θῆρας αἰνῷ φόβῳ,



occurrere. Te verò ô Alexibii fili, pulchricomæ illustrant gratiæ. Beatus es qui habes etiam post magnum laborem sermonum præstantissimorum monumentum. Inter quadraginta enim lapsos aurigas, integrum currum referens intrepido animo, rediisti iam in Libyæ campum, & patriam vrbem, ab illustribus certaminibus. * La- » borum autem nemo e- » xors est, neque erit. Batti » verò sequitur vetus felicitas, pariter hæc & illa tribuens, turris vrbis & oculus lucidissimus hospitibus. Illum *Battum* & grauiter fastuosi leones pre timore fugiebant, linguam postquam ad ipsos attulit transmarinam. Nam dux & author *deducendæ coloniæ* Apollo dedit feras graui metui,

Universidad de Deusto
Biblioteca



ὄφρα μὴ ταμίᾳ
Κυράνας ἀτελὴς
γένοιτο μαντεύμασιν.

στρο. γ. κῶλ. ιδ.

ὃ καὶ βαρειᾶν νόσων
ἀκέσματ᾽ ἄνδρεσσι καὶ
γυναιξὶ νέμει, πόρεν τε κίθαριν·
δίδωσί τε μοῖσαν οἷς ἂν ἐθέλῃ,
ἀπόλεμον ἀγαγὼν
ἐς πραπίδας εὐνομίαν·
μυχόν τ᾽ ἀμφέπει
μαντήιον· τῷ καὶ Λακε-
δαίμονι, ἔν τ᾽ Ἄργει, καὶ
ζαθέᾳ Πύλῳ ἔνασσεν ἀλ-
κᾶντας Ἡρακλέος
ἐκγόνους, Αἰγιμιοῦ τε. τὸ δ᾽ ἐ-
μὸν γαρύετ᾽ ἀπὸ Σπάρ-
τας ἐπήρατον κλέος.

ἀντιστρ. κῶλ. ιδ.

ὅθεν γεγενναμένοι
ἵκοντο Θήρανδε φῶ-
τες Αἰγεΐδαι, ἐμοὶ πατέρες, οὐ
θεῶν ἄτερ· ἀλλὰ μοῖρά τις ἆγε
πολύθυτον ἐς ἔρανον.



Vt ne moderatori Cyrenes irritus foret *in suis* oraculis. * Qui & grauium morborum remedia viris & mulieribus dat, præbuítque citharœdicam *artem*: dat quoque musicam quibuscunque voluerit, pacificam inducens in mentes rectam iuris constitutionem. adytúmque regit oraculare, per quod & Lacedæmonem & Argos & diuinam Pylum transportauit strenuos Herculis posteros, AEgimiíque. Mea autem narratur è Sparta amabilis gloria. * Vnde geniti venerũt in Theram viri AEgeidæ, mei maiores, non absque diis: sed fatum quoddam adduxit ad multarum victimarum epulum.

ἔνθεν ἀναδεξάμενοι
Ἄπολλον τεὰ
Καρνεῖα, ἐν δαιτὶ σεβί-
ζομεν Κυράνας ἀγα-
κτιμέναν πόλιν, ἔχοντι ταὶ
χαλκοχάρμαι ξένοι
Τρῶες Ἀντανορίδαι. σὺν Ἑλέ-
νᾳ γὰρ μόλον, καπνωθεῖ-
σαν πάτραν ἐπεὶ ἴδον

ἐπῳ. κῶλ. ιδ.

ἐν ἄρει. τὸ δ᾽ ἐλάσιππον ἔθνος
ἐνδυκέως δέχονται
θυσίαισιν ἄνδρες
ἰχνέοντές σφε δωροφόροι,
τοὺς Ἀριστοτέλης ἄγαγε ναυσὶ θοαῖς
ἁλὸς βαθεῖαν κέλευθον ἀνοίγων.
κτίσε δ᾽ ἄλσεα μείζονα
θεῶν, εὐθύτομόν τε κατέθηκεν
Ἀπολλωνίαις
ἀλεξιμβρότοις πεδιάδα πομπαῖς
ἔμμεν ἱππόκροτον
σκυρωτὰν ὁδόν· ἔν-
θα πρυμνοῖς ἀγορᾶς
ὀπίδιχα κεῖται θανών.



Inde suscipientes, ô Apollo, tua Carnea, in conuiuio celebramus Cyrenes valdè insignem ædificiis vrbem, quam incolũt ęreis *armis* gaudentes hospites Troiani Antenoridæ. Cum Helena enim *eò* venerunt, fumantem patriã postquam viderunt *in bello. Equorum autem agitatricem gentẽ propensè excipiunt sacrificiis viri ad eos accedentes munerum latores, quos Aristoteles adduxit nauibus citis, maris profundam viam aperiens. Condidit autem lucos maiores deorum, fecitque viã *nomine* Scyrotam, directam, ita vt esset planicies equis perstrepens *in* *Apollineis pompis propulsantibus *mala* ab hominibus, vbi postrema in *parte* fori seorsũ iacet mortuus.

Universidad de Deusto Biblioteca

στροφὴ δ΄, κῶλ. ιδ.

μάκαρ μὲν ἀνδρῶν μέτα
ἔναιεν, ἥρως δ᾽ ἔπειτα
λαοσεβής· ἄτερθε δὲ πρὸ δω-
μάτων ἕτεροι λαχόντες ἀΐδαν
βασιλέες ἱεροὶ
ἐντί. μεγάλαν δ᾽ ἀρετὰν
δρόσῳ μαλθακᾷ
ῥανθεῖσαν κώμων θ᾽ ὑποχεύ-
μασιν ἀκούοντί ποι
χθονίᾳ φρενί, σφὸν ὄλβον, υἱ-
ῷ τε κοινὰν χάριν
ἔνδικόν τ᾽ Ἀρκεσίλᾳ. τὸν ἐν ἀ-
οιδᾷ νέων πρέπει χρυ-
σάορα Φοῖβον ἀπύειν,

ἀντιστρ. κῶλ. ιδ.

ἔχοντα Πυθωνόθεν
τὸ καλλίνικον λυτήρι-
ον δαπανᾶν, μέλος χαρίεν. ἄν-
δρα κεῖνον ἐπαινέοντι συνετοί.
λεγόμενον ἐρέω·
κρέσσονα μὲν ἁλικίας
νόον φέρβεται.
γλῶσσάν τε· θάρσος τε τανύ-



* Beatus quidem inter homines habitabat, herósque postea à populo cultus. seorsum autem ante ędes alii sortiti Orcũ reges sacri sunt. Magnam autem virtutem, rore molli rigatam hymnorumque liquoribus audiunt terrestri mente, suam felicitatem, filióque communem gratiã & iustè debitam Arcesilæ. quem in cantu iuuenum decet aureo ense *conspicuum* Phœbum resonare, * qui habeas ex Pythone carmen venustum de *tua* egregia victoria, persolutorium sumptuum. Virum illum laudant prudẽtes. Quod *vulgò* aiunt, dicam: præstantiorem ætate mentem alit & linguam. At animi magnitudine est *veluti* expandens

πτερὸς ἐν ὄρνιξιν αἰ-
ετὸς ἔπλετο. ἀγωνίας
δ' ἕρκος, οἷον σθένος.
ἔν τε μοίσαισι ποτανὸς ἀπὸ
ματρὸς φίλας, πέφανταί
θ' ἁρματηλάτας σοφός.

ἐπῳ. κῶλ. ιδ.

ὅσσαι τ' εἰσὶν ἐπιχωρίων κα-
λῶν ἔσοδοι, τετόλμα-
κε· θεός τέ οἱ τὸ
νῦν τε πρόφρων τελεῖ δυνάσιν,
καὶ τὸ λοιπὸν ὦ Κρονίδαι μάκαρες
διδοῖτ' ἐπ' ἔργοισιν ἀμφί τε βουλαῖς
ἔχειν· μὴ φθινοπωρὶς ἀ-
νέμων χειμερία καταπνοὰ δα-
μαλίζοι χρόνον.
“ Διός τοι νόος μέγας κυβερνᾷ
“ δαίμον' ἀνδρῶν φίλων.
εὔχομαί νιν Ὀλυμπί-
ᾳ τοῦτο δόμεν
γέρας, ἐπὶ Βάττου γένει,



alas inter aues aquila, robore autem in certaminibus, *est* velut propugnaculum. In Musis autem volatilis ab vsq; matre chara, apparuítq; curruum agitator scitus.

* Et quotquot in suam regionem inuehuntur præclara *facinora*, aggreditur, Deúsque illi nunc beneuolus suppeditat vires. & in posterum ô Saturnidæ beati date, factis & consiliis deditum esse: ne fructibus exitialis ventorum hybernus flatus profliget tempus *vitæ illius*. Iouis mens magna gubernat sortem virorum charorum. Oro igitur eum, apud Olympiam hoc dare decus, in Batti genere.

# ΞΕΝΟΚΡΑΤΕΙ
## Ἀκραγαντίνῳ, ἅρματι.

## Εἶδος ϛ.

στροφὴ α, κῶλ. θ.

Ἀκούσατ'· ἦ γὰρ ἑλικώπιδος Ἀ-
φροδίτας
ἄρουραν ἢ Χαρίτων ἀναπολίζομεν,
ὀμφαλὸν ἐριβρόμου χθονὸς
ἐς ναὸν προσοιχόμενοι· Πυθιόνικος
ἔνθ' ὀλβίοισιν Ἐμμενίδαις,
ποταμίᾳ τ' Ἀκράγαντι, καὶ μὰν Ξενο-
ἑτοῖμος ὕμνων. [κράτει
θησαυρὸς ἐν πολυχρύσῳ
Ἀπολλωνίᾳ τετείχισται νάπᾳ.

ἀντιστρ. κῶλ. θ. [ἐλθὼν
τὸν οὔτε χειμέριος ὄμβρος ἐπακτὸς ἐλ-
ἐριβρόμου νεφέλας στρατὸς ἀμείλιχος
οὔτ' ἄνεμος ἐς μυχοὺς ἁλὸς
ἄξει παμφόρῳ χεράδι τυπτόμενος· φά-
ει δὲ πρόσωπον ἐν καθαρῷ,
πατρὶ τεῷ Θρασύβουλε, κοινάν τε γενεᾷ



# XENOCRATI
## Agrigentino, curru *uictoriam adepto.*

## Ode VI.

AVdite: nam nigrioculæ Veneris aruum aut Charitum, versamus, vmbilicum horrisonæ terræ ad tẽplum pergentes: vbi de victoria Pythica felicibus Emmenidis, fluuialiq; Agrigento, atque etiam Xenocrati, paratus hymnorum thesaurus in diuite auri Apollonio luco reconditus est intra murum. * Quem *thesaurum* neque hybernus imber cum impetu superveniens, horrisonæ nubis exercitus implacabilis, neque ventus in recessus maris trudet, omnia rapiente colluuie tundens, sed luce faciem *habens* in pura patri tuo Thrasybule & communem stirpi



Universidad de Deusto Biblioteca

λόγοισι θνατῶν
εὔδοξον ἁρματινίκαν
Κρισαίαισιν ἐν πτυχαῖς ἀπαγγελεῖ.

στροφὴ β. κῶλ. θ. [θὰν

σύ τοι σχέθων νιν, ἐπιδέξια χρὸς ὀρ-
ἄγεις ἐφημοσύναν, τά ποτ' ἐν ὄρεσι
φαντὶ μεγαλοσθενεῖ Φιλύ-
ρας υἱὸν ὀρφανιζομένῳ Πηλείδᾳ πα-
ραινεῖν· μάλιστα μὲν Κρονίδαν
βαρύοπαν στεροπᾶν κεραυνῶν τε πρύ-
θεῶν σέβεσθαι· [τανιν
ταύτας δὲ μή ποτε τιμᾶς
ἀμείρειν γονέων βίον πεπρωμένον.

ἀντιστρ. κῶλ. θ.

ἔγεντο καὶ πρότερον Ἀντίλοχος βιατὰς
νόημα τοῦτο φέρων· ὃς ὑπερέφθιτο
πατρός, ἐναρίμβροτον ἀμμεί-
νας στράταρχον Αἰθιόπων Μέμνονα. Νε
ρειον γὰρ ἵππος ἅρμ' ἐπέδα, [στό-
Πάριος ἐκ βελέων δαϊχθείς· ὁ δ'
ἔφεπε
κραταιὸν ἔγχος.
Μεσσανίου δὲ γέροντος·
δοναθεῖσα φρὴν βόασε παῖδα ὅν,



sermone mortalium incly-
tam curulem victoriam Cri-
sæis in vallibus prædicabit.
* Tu vtique tenens eum *pa-
trem* dextra manu, rectam
refers admonitionem, quam
olim in montibus aiunt Phi-
lyræ filium robustissimo Pe-
lidæ consuluisse orbato pa-
rentibus. *Videlicet* potissi- "
mum quidem inter deos Sa- "
turnium grauisonum fulgu- "
rum fulminúmque domi- "
num venerari: hoc verò nun- "
quam honore priuare pa- "
rentum vitam fatis datam. "
* Extitit & antea Antilochus
fortis, mentem hanc habens,
qui pro patre occubuit, ho-
micidam quum sustinuisset
ducem exercitus AEthio-
pum Memnonem. Nesto-
reum enim equus currum re-
morabatur, Paridis telis sau-
cius: at ille gestabat validam
hastam. Messenii autem senis
concitata mens inclamauit
filium suum.



Universidad de Deusto Biblioteca

στροφὴ γ, κῶ. θ.

χαμαιπετὲς δ᾽ ἄρ᾽ ἔπος οὐκ ἀπέῤῥι-
ψεν αὐτοῦ.
μένων γὰρ ὁ θεῖος ἀνὴρ, πρίατο μὲν θανά-
τοιο κομιδὰν πατρὸς· ἐδό-
κησεν τῶν πάλαι γενεᾷ ὁπλοτέροισιν,
ἔργον πελώριον τελέσαις,
ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀ-
ρετάν.
τὰ μὲν παρήκει·
τῶν νῦν δὲ καὶ Θρασύβουλος
πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα,

ἀντιστρ. κῶλ. θ.

πάτρῳ τ᾽ ἐπερχόμενος ἀγλαΐαν ἔδειξεν
ἅπασαν, νόῳ δὲ πλοῦτον ἄγει, ἄδικον
οὔτ᾽ ὑ-
πέροπλον ἥβαν δρέπων, σοφίαν
δ᾽ ἐν μυχοῖσι Πιερίδων· τίν τ᾽ ἐλέλι-
ὀργαῖς πάσαις, ὃς ἱππείαν εἰ- [χθον
σοδον, μάλ᾽ ἁδόντι νόῳ Ποσειδᾶν
προσέρχεται·
γλυκεῖα δὲ φρὴν
καὶ συμπόταισιν ὁμιλεῖν,
μελισσᾶν ἀμείβεται τρητὸν πόνον.



* In terram autem decidens sermo *patris* non abstraxit *filium a proposito.* sed manens ille diuinus vir, emit morte recuperationem patris. Visus est *igitur* natu iunioribus, hoc facinus ingens quum patrasset, *omnium* veterum supremus esse in virtute erga parentes. Hæc quidem prætereunt. at Thrasybulus maximè ex *omnibus quæ sunt* nunc paternam ad regulam graditur, *& ad patruum accedens, magnificentiam ostẽdit omnem. Cum prudentia autem diuitias gubernat, *neque* iniustam neque insolentem pubertatem carpens, sed sapientiam in penetralibus Pieridum. Et ad te terræ concussor Neptune, qui equestrem introitum *inuenisti*, in moribus omnibus valdè alacri mente accedit. Dulcis præterea mens eius & in conuersando cum conuiuis, apum superat cancellatum opus.

# ΜΕΓΑΚΛΕΙ ἈΘΗναίῳ, τεθρίππῳ.

## Εἶδος Ζ.

στρο. α, κῶλ. ζ.

ΚΑλλιστον αἱ μεγαλοπόλιες Ἀθᾶναι
προοίμιον Ἀλκμαιονιδᾶν
εὐρυσθενεῖ γενεᾷ, κρηπῖδ' ἀοιδᾶν
ἵπποισι βαλέσθαι. ἐπεὶ
τίνα πάτραν, τίνα τ' οἶκον
ναίων ὀνυμάξομαι
ἐπιφανέστερον Ἑλλάδι πυθέσθαι;

ἀντιστρ. κῶ. ζ.

πάσαισι γὰρ πολίεσσι λόγος ὁμιλεῖ
Ἐρεχθέος ἀστῶν, Ἀπόλ-
λων, οἳ τεόν τε δόμον Πυθῶνι δίᾳ
θαητὸν ἔτευξαν. ἄγον-
τι δέ με πέντε μὲν Ἰσθμοῖ
νῖκαι, μία δ' ἐκπρεπὴς
Διὸς Ὀλυμπιάς· δύο δ' ἀπὸ Κίρρας

ἐπῳδ. κῶλ. θ.

ὦ Μεγάκλεες, ὑ-
μαί τε, καὶ προγόνων.



# MEGACLI Atheniensi, *uictoriam adepto* quadriiugo curru.

## Ode VII.

PVlcherrimum grandi vrbes Athenæ *sunt* prooemium Alcmæonidarum latepotenti stirpi, fundamentum carminum equis vt iaciatur. nam quam patriam, quam familiam *ego* habitans in Græcia nominabo illustriorem auditu? Inter omnes enim ciuitates fama versatur Erechthei ciuiũ. qui, ô Apollo, tuam ædem apud Pythonem diuinam extruxerunt. Impellunt autem me quinque apud Isthmum victoriæ, vna verò excellens Olympiæ Iouis, duæ etiam à Cyrrha, ô Megacles, & vestræ & *vestrorum* progenitorum.

Universidad de Deusto Biblioteca

Universidad de Deusto Biblioteca



νέᾳ δ' εὐπραγίᾳ
χαίρω τι, τὸ δ' ἄχνυμαι,
« φθόνον ἀμειβόμενον
« τὰ καλὰ ἔργα. φαντί γε μὰν
« οὕτω κεν ἀνδρὶ παρμονίμαν
« θάλλοισαν εὐδαιμονίαν
« τὰ καὶ τὰ φέρεσθαι.

## ΑΡΙΣΤΟΜΕΝΕΙ
Αἰγινήτῃ, παλαιστῇ.

### Εἶδος Η.

στροφὴ α, κῶλ. θ.

« Φιλόφρον Ἡσυχία, Δίκας
« ὦ μεγιστόπολι
« θύγατερ, βουλᾶν τε καὶ πολέμων
« ἔχοισα κλαΐδας
« ὑπερτάτας, Πυθιόνικον
« τιμὰν Ἀριστομένει
« δέκευ. τὺ γὰρ τὸ μαλθακὸν ἔρξαι
« τε καὶ παθεῖν ὁμῶς ἐπίστασαι
« καιρῷ σὺν ἀτρεκεῖ.



Recenti autem successu »
gaudeo: sed doleo quòd »
inuidia alternet præcla- »
ra facinora. Verùm a- »
iunt homini stabiliter »
florentem felicitatem »
hæc & illa nancisci. »

## ARISTOMEni AEginetæ, palæstritæ.

### Ode VIII.

O Blanda mente prædita Tranquillitas, »
Iustitiæ filia, maximas »
vrbes reddens, consilio- »
rum & bellorum habens »
claues supremas, hono- »
rem Pythicæ victoriæ »
Aristomenis accipe. Tu »
enim mollia præstare & »
iis frui pariter nosti cum »
exacta opportunitate. »

Universidad de Deusto Biblioteca

ἀντιστρ. κῶλ. θ.

τὺ δ᾽ ὁπόταν τις ἀμείλιχον
καρδίᾳ κότον ἐ-
νελάσῃ, τραχεῖα δυσμενέων
ὑπαντιάξαισα,
κράτει τιθεῖς ὕβριν ἐν ἄντλῳ·
τὰν οὐδὲ Πορφυρίων
μάθεν παρ᾽ αἶσαν ἐξερεθίζων.
« κέρδος δὲ φίλτατον γ᾽, ἑκόντος εἴ
« τις ἐκ δόμων φέροι·

ἐπῳ. κῶ. ια.

« βία δὲ καὶ μεγάλαυχον ἔσφα-
« λεν ἐν χρόνῳ. Τυφὼς Κίλιξ πολυκάρ-
νος οὔ μιν ἄλυξεν·
οὐδὲ μὰν βασιλεὺς γιγάντων·
δμᾶθεν δὲ κεραυνῷ
τόξοισί τ᾽ Ἀπόλλω-
νος, ὃς εὐμενεῖ νόῳ
Ξενάρκειον ἔδεκτο Κίρ-
ραθεν ἐστεφανωμένον
υἱὸν ποίᾳ Παρνασίᾳ,
Δωριεῖ τε κώμῳ.

στροφ. β, κῶλ. θ.

ἔπεσε δ᾽ οὐ χαρίτων ἑκάς



*Tu, quum aliquis implacabilem iram in cor immiserit aspera occurrens hostium robori, ponis insolentiam eorum in sentina. Quam *tranquillitatem* neque Porphyrio cognouit se præter æquum & honestum irritare. Atqui lucrum » sanè gratissimum, siquis » volentis ex ædibus a- » sportet: * at violentia & » superbum pessundat tan- » dem. Typho Cilix mul- » ticeps non eam effugit, nec rex gigantum, sed domiti fuerunt fulmine & arcubus Apollinis, qui beneuola mente filium Xenarcis excepit è Cirrha, coronatum herba Parnasia Doricóque hymno.

* Cecidit autem non procul à gratiis

ἁ δικαιόπολις
ἀρεταῖς κλειναῖσιν Αἰακιδᾶν
θίγοισα νᾶσος· τε-
λέαν δ' ἔχει δόξαν ἀπ' ἀρχᾶς.
πολλοῖσι μὲν γὰρ ἀεί-
δεται νικαφόροις ἐν ἀέθλοις,
θρέψαισα καὶ θοαῖς ὑπερτάτοις
ἥρωας ἐν μάχαις,

ἀντιστρ. κῶ. θ.

τὰ καὶ ἐν ἀνδράσιν ἐμπρέπει.
εἰμὶ δ' ἄσχολος ἀ-
ναθέμεν πᾶσαν μακραγορίαν
λύρᾳ τε καὶ φθέγμα-
τι μαλθακῷ· μὴ κόρος ἐλθὼν
κνίσῃ. τὸ δ' ἐν ποσί μοι
ἴτω τρέχον τεὸν χρέος, ὦ παῖ,
νεώτατον καλῶν ἐμᾷ ποτα-
νὸν ἀμφὶ μαχανᾷ.

ἐπῳ. κῶλ. ια.

παλαισμάτεσσι γὰρ ἰχνεύων μα-
τραδελφεοὺς, Ὀλυμπίᾳ τε Θεόγνη-
τον οὐ κατελέγχεις,
οὐδὲ Κλυτομάχοιο νίκαν
Ἰσθμοῖ θρασύγυιον·



insula iustitiam colens in suis vrbibus, virtutes inclytas Æacidarum attingens. ideo perfectam habet gloriam ab initio. Decãtatur enim quòd educauerit heroas excellẽtissimos in certaminibus victoriã reportantibus, & velocibus in prelíis.* quę & inter homines decus obtinent. Sedenim non vacat mihi imponere lyræ & voci molli omnem prolixitatem orationis, ne satietas veniens offendat. quod igitur circa pedes mihi currit, procedat. tuum meritum recentissimum præclarorũ *facinorum tuorum* meã volat circum artẽ. * Luctis enim per vestigia sequens auunculos, & apud Olympiam Theognetum non dedecoras, neque Clitomachi victoriam in Isthmo audacimẽbrem.

αὔξων δὲ πάτραν Μι-
δυλιδᾶν, λόγον φέρεις
τὸν ὅνπερ ποτ' Οἰκλέος
παῖς ἐν ἑπταπύλοις ἰδὼν
υἱοὺς Θήβαις ἠνίξατο
παρμένοντας αἰχμᾷ·

στρο. γ. κῶλ. θ.

ὁπότ' ἀπ' Ἄργεος ἤλυθον
δευτέραν ὁδὸν ἐ-
πίγονοι, ὧδ' εἶπε μαρναμένων,
" φυᾷ τὸ γενναῖον
" ἐπιπρέπει, ἐκ πατέρων παι-
" σὶν λῆμα. θάομαι
σαφὲς δράκοντα ποικίλον αἰθᾶς
Ἀλκμᾶν' ἐπ' ἀσπίδος νωμῶντα πρῶ-
τον ἐν Κάδμου πύλαις·

ἀντιστρ. κῶλ. θ.

ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ,
νῦν ἀρείονος ἐ-
νέχεται ὄρνιχος ἀγγελίᾳ
Ἄδραστος ἥρως. τὸ
δὲ οἴκοθεν, ἀντία πράξει.
μοῦνος γὰρ ἐκ Δαναῶν
στρατοῦ, θανόντος ὀστέα λέξαις



promouens autem tribum Midylidarum, verba reportas quæ olim Oïclei filius obscura significatione protulit, conspicatus apud septem portis munitas Thebas filios permanentes apud hastam:

* quando ab Argo venerunt secunda expeditione ἐπίγονοι *id est posteri.* Sic autem dixit dum præliarentur: Natura in liberis eminet ex patribus generosa magnitudo animi. Intueor apertè Alcmanem in clypeo corusco quatientem draconem versicolorem primum in Cadmi portis. At heros Adrastus afflictus priori clade, nunc prosperioris detinetur augurii nuntio. sed à domo aduersa *fortuna* vtetur. Solus enim ex Danaorum exercitu, mortui collectis ossibus

υἱοῦ, τύχᾳ θεῶν ἀφίξεται
λαῷ σὺν ἀβλαβεῖ

ἐπῳ. κῶλ. ια.

Ἄβαντος εὐρυχώρους ἀγυιάς.
τοιαῦτα μὲν ἐφθέγξατ᾽ Ἀμφιάρηος.
χαίρων δὲ καὶ αὐτὸς
Ἀλκμᾶνα στεφάνοισι βάλλω.
ῥαίνω δὲ καὶ ὕμνῳ,
γείτων ὅτι μοι καὶ
κτεάνων φύλαξ ἐμῶν
ὑπάντιασεν, ἰόντι γαίας
ὀμφαλὸν παρ᾽ ἀοίδιμον·
μαντευμάτων τ᾽ ἐφάψατο
συγγόνοισι τέχναις.

στρο. δ. κῶλ. θ.

τὺ δ᾽ ἑκαταβόλε πάνδοκον
ναὸν εὐκλέα δι-
ανέμων Πυθῶνος ἐν γυάλοις,
τὸ μὲν μέγιστον τό-
θι χαρμάτων ὤπασας· οἴκοι
δὲ πρόσθεν ἁρπαλέαν
δόσιν πενταεθλίου σὺν ἑορταῖς
ὑμαῖς ἐπάγαγες ἄναξ. ἑκόν-
τι δ᾽ εὔχομαι νόῳ



filii, sorte prospera deorum, cum exercitu incolumi perueniet * ad Abantis spatiosos vicos. Talia quidem loquutus est Amphiaraus. gaudēs verò & ipse in Alcmanem coronas iacio, conspergo autem & hymno, quoniam vicinus mihi & possessionum custos mearum occurrit, eunti terræ ad vmbilicum celeberrimum, vaticiniáque attigit cōgenitis artibus. * Tu autem longè iaculans, qui templum celebre omnes excipiens gubernas in vallibus Pythonis, maximum quidem tunc gaudiorum præbuisti: domi autem antea quinquertii donū, quod auidè arripitur, cum festis tuis attulisti rex. prompta autem precor mente

Universidad de Deusto Biblioteca

ἀντισρ. κῶ. θ.

κατά τιν' ἁρμονίαν βλέπειν
ἀμφ' ἕκαστον ὅσα
" νέομαι. κώμῳ μὲν ἀδυμελεῖ
" δίκα παρέστακε.
θεῶν δ' ὄπιν ἄφθιτον αἰτέω
Ξέναρκες ὑμετέραις
" τύχαις. εἰ γάρ τις ἐσλὰ πέπαται
" μὴ ξὺν μακρῷ πόνῳ, πολλοῖς σοφὸς
" δοκεῖ πεδ' ἀφρόνων,

ἐπῳ. κῶλ. ια.

" βίον κορυσσέμεν ὀρθοβούλοι-
" σι μαχαναῖς. τὰ δ' οὐκ ἐπ' ἀνδράσι
" δαίμων δὲ παρίσχει, [κεῖται·
" ἄλλοτ' ἄλλον ὕπερθε βάλλων·
" ἄλλον δ' ὑπὸ χειρῶν
" μέτρῳ καταβαίνει.
Μεγάροις δ' ἔχεις γέρας,
μυχῷ τ' ἐν Μαραθῶνος· Ἥ-
ρας τ' ἀγῶν' ἐπιχώριον
νίκαισι τρισσαῖς, ὦ 'ριστόμε-
νες, δάμασσας ἔργῳ·

στροφ. ε. κῶ. θ.

τέτρασι δ' ἔμπετες ὑψόθεν



* vt aspicias de vnoquoque quæ percurro *certis* quibusdam rhythmis. Hymno certè *nostro* suauisono iustitia adstat. Deorũ autem curam immortalem exposco ô Xenarces, vestræ sorti. Siquis enim opes possidet non cum longo labore, multis stultis sapiens videtur valdè, *facultates illas* * ad vitam comparare artibus rectorum consiliorum *datricibus*. Atqui illa non penes homines sunt. sed Deus præbet, aliâs alium superextollens, alium autem sub manibus *pari* mensura deprimit. Apud Megara autem habes præmium, & in recessu Marathonis. Iunonísque certamen patrium *cum* victoriis tribus ô Aristomenes superasti fortitudine: * quatuórque illapsus es supernè

Universidad de Deusto Biblioteca

σωμάτεσσι, κακὰ
φρονέων. τοῖς οὔτε νόστος ὁμῶς
ἔπαλπνος ἐν Πυθι-
άδι κρίθη, οὐδὲ μολόντων
πὰρ ματέρ᾽, ἀμφιγέλως
γλυκὺς ὦρσεν χάριν· κατὰ λαύρας
δ᾽ ἐχθρῶν ἀπάοροι πτώσσοντι,
συμφορᾷ δεδαϊγμένοι.

ἀντιστρ. κῶλ. θ.

« ὁ δὲ καλόν τι νέον λαχὼν,
« ἁβρότατος ἔπι
« μεγάλας ἐξ ἐλπίδος πέταται,
« ὑποπτέροις ἀνορέαις,
« ἔχων κρέσσονα πλούτου μέ-
« ριμναν. ἐν δ᾽ ὀλίγῳ
« βροτῶν τὸ τερπνὸν αὔξεται, οὕτω
» δὲ καὶ πίτνει χαμαὶ, ἀποτρό-
« πῳ γνώμᾳ σεσεισμένον.

ἐπῳ. κῶλ. ια.

« ἐπάμεροι, τί δέ τις, τί δ᾽ οὔ τις;
« σκιᾶς ὄναρ ἄνθρωποι. ἀλλ᾽ ὅταν αἴγλα
« διόσδοτος ἔλθῃ,
« λαμπρὸν ἔπεστι φέγγος ἀνδρῶν,
« καὶ μείλιχος αἰών.



corporibus, mala *illis* mo-
liēs: quibus neque reditus
pariter iucundus apud Py-
thiadem iudicatus fuit, ne-
que reuersis ad matrem
risus dulcis excitauit festi-
uitatem: sed per vicos ab
hostibus procul semoti
trepidant, calamitate sau-
ciati. * At qui bonum ali- »
quod recens nactus est, »
secundum spem *suam* vo- »
lat super magno splendo- »
re, velocibus strenuitati- »
bus habens præstātiorem »
diuitiis curam. Sed breui »
mortalium oblectatio cre- »
scit, itidem verò & cadit »
in terram, infausto consi- »
lio concussa. »
* Diei vnius sunt homi- »
nes. quid est aliquis? quid »
verò nullus? vmbræ som- »
nium homines. Sed quum »
lux à Ioue data accesserit, »
splendidum est lumen ho- »
minum & suauis vita. »

Αἴγινα φίλα μᾶ-
τερ ἐλευθέρῳ στόλῳ
πόλιν τάνδε κόμιζε,
Δὶ καὶ κρέοντι σὺν Αἰακῷ,
Πηλεῖ τε, κ' ἀρίστῳ Τελα-
μῶνι, σύν τ' Ἀχιλλεῖ.

## ΤΕΛΕΣΙΚΡΑΤΕΙ Κυρηναίῳ, ὁπλιτοδρόμῳ.

### Εἶδος Θ.

στροφ. α, κῶλ. ιε.

Ἐθέλω χαλκάσπιδα Πυθιονίκαν
σὺν βαθυζώνοισιν ἀγγέλλων Τελε-
κράτη Χαρίτεσσι γεγωνεῖν,
ὄλβιον ἄνδρα, διω-
ξίππου στεφάνωμα Κυράνας·
τὰν ὁ χαιτάεις ἀνεμο-
σφαράγων ἐκ Παλίου κόλ-
πων ποτὲ Λατοΐδας
ἅρπασεν, ἔνεγκέ τε χρυσέῳ
παρθένον ἀγροτέραν



Ægina chara mater, libero agmini *ciuium*, vrbem hanc *suam* curæ habeas, cum Ioue & rege Æaco, Peleóque, & præstātissimo Telamone, cúmque Achille.

## TELESICRATI Cyrenæo, armato cursori.

### Ode ix.

VOlo ærei clypei gestatorem Pythiorum victorem Telesicratem cū profundisonis Charitibus annuntians sonare, felicem virum, equestris coronamentum Cyrenes, quam comosus ex Pelii sinibus vento perstrepētibus quōdam Latoïdes rapuit, aduexítque aureo virginem venatricem

Universidad de Deusto
Biblioteca

δίφρῳ. τόθι νιν πολυμήλου
καὶ πολυκαρποτάτας
θῆκε δέσποιναν χθονός,
ῥίζαν ἀπείρου τριτάταν
εὐήρατον θάλλοισαν οἰκεῖν.

ἀντιστρ. κῶλ. ιε.

ὑπέδεκτο δ' ἀργυρόπεζ' Ἀφροδίτα
Δάλιον ξένον, θεοδμάτων ὀχέων
ἐφαπτομένα χερὶ κούφα.
καί σφιν ἐπὶ γλυκεραῖς
εὐναῖς ἐρατὰν βάλεν αἰδῶ,
ξυνὸν ἁρμόζοισα θεῷ
τε γάμον μιχθέντα κούρα θ'
Ὑψέος εὐρυβία·
ὃς Λαπιθᾶν ὑπερόπλων
τουτάκις ἦν βασιλεύς,
ἐξ Ὠκεανοῦ γένος ἥρως
δεύτερος, ὅν ποτε Πίν-
δου κλεενναῖς ἐν πτυχαῖς
Ναῒς εὐφρανθεῖσα Πη-
νειοῦ λέχει Κρέοισ' ἔτικτε,

ἐπῳ. κῶλ. ιδ.

Γαίας θυγάτηρ. ὁ δὲ τὰν εὐώλενον
θρέψατο παῖδα Κυράναν.



curru. Vbi eam pecorosæ & maximè fructiferæ fecit dominam terræ, vt florens habitaret radicem continentis terræ, tertiam optabilem. * Excepit autem albipes Venus Delium hospitem, diuinitus fabricatos currus attingens manu leuiter, & ipsis in dulcibus cubilibus amabilem immisit verecundiam, communes iungens deo mixto nuptias filiæque Hypsei latepotentis. qui Lapitharum superborum tunc erat rex, ab Oceano heros genere secundus, quem quondam Pindi in inclytis vallibus Nais Creusa, delectata lecto Penei, peperit, * Terræ filia. ille autem lacertis decoram educauit filiam Cyrenem.

ἁ μὲν οὔθ᾽ ἱστῶν παλιμβά-
μοις ἐφίλασεν ὁδοὺς,
οὔτε δείπνων οἰκουριᾶν
μεθ᾽ ἑταιρᾶν τέρψιας·
ἀλλ᾽ ἀκόντεσσί τε χαλκέοις
φασγάνῳ τε μαρναμένα,
κεραΐζεν ἀγρίους
θῆρας, ἦ πολλάν τε καὶ ἁσύχιον
βουσὶν εἰρήνην παρέχοισα πατρῴαις·
τὸν δὲ σύγκοιτον γλυκὺν
παῦρον ἐπὶ βλεφάροις
ὕπνον ἀναλίσκοισα, ῥέποντα πρὸς ἀῶ.

στροφὴ β. κῶλ. ιε.

κίχε νιν λέοντί ποτ᾽ εὐρυφαρέτρας
ὀμβρίμῳ μούναν παλαίοισαν ἄτερ
ἐγχέων ἑκάεργος Ἀπόλλων.
αὐτίκα δ᾽ ἐκ μεγάρων
Χείρωνα προσήνεπε φωνᾷ,
σεμνὸν ἄντρον Φιλλυρίδα
προλιπὼν, θυμὸν γυναικὸς
καὶ μεγάλαν δύνασιν
θαύμασον, οἷον ἀταρβεῖ
νεῖκος ἄγει κεφαλᾷ
μόχθου καθύπερθε νεᾶνις



hæc neque telarum retrogradas amauit vias, neque cœnarum oblectationes inter domesticas socias: sed iaculis æreis ensé que dimicans, conficiebat feras bestias, magnam & tranquillam bobus pacē præbens paternis, exiguum autem somnum (concubitorem suauem) palbebris impendens, quum aduentaret aurora.

*Inuenit eam Apollo iaculator pharetra lata instructus impetuoso solam luctantem cum leone, sine hastis. Statim autem ex ædibus Chironem euocauit, ita compellās, O Philyride nobile antrum relinquens animos virginis & magnum robur admireris, qualiter intrepido capite certamen sustineas puella, super laborem

ἦτορ ἔχοισα, φόβῳ
δ' οὐ κεχείμανται φρένες.
τίς νιν ἀνθρώπων τέκεν;
ποίας δ' ἀποσπασθεῖσα φύτλας,

ἀντιστρ. κώ. ιε.

ὀρέων κευθμῶνας ἔχει σκιοέντων,
γεύεται δ' ἀλκᾶς ἀπειράντου; ὁσία
κλυτὰν χεῖρα οἱ προσενεγκεῖν;
ἦ ῥα καὶ ἐκ λεχέων
κεῖρεν μελιηδέα ποίαν;
τὸν δὲ Κένταυρος ζαμενὴς,
ἀγανᾷ χλιαρὸν γελάσαις ὀ-
φρύϊ, μῆτιν ἑὰν
« εὐθὺς ἀμείβετο· κρυπταὶ
« κλαΐδες ἐντὶ σοφᾶς
« πειθοῦς ἱερᾶν φιλοτάτων
« Φοῖβε· καὶ ἔν τε θεοῖς
« τοῦτο κἀνθρώποις ὁμῶς
« αἰδέοντ' ἀμφαδὸν ἁ-
« δείας τυχεῖν τοπρῶτον εὐνᾶς.

ἐπῳ. κῶλ. ιδ.

καὶ γάρ σε, τὸν οὐ θεμιτὸν ψύδει θιγεῖν,
ἔτραπε μείλιχος ὀργὰ
παρφάμεν τοῦτον λόγον. κού-



cor habens, nec timore fluctuant præcordia. Quis hominum eam genuit? & à qua auulsæ stirpe, * montium vmbrosorum recessus latebrosos habitat, & degustat infinitam strenuitatem? Fásne est illustrẽ manum ei admouere? vtrum & ex stratis tondere mellitam herbam? Huic autem Centaurus valdè animosus, placido blandè ridens supercilio, suum consilium responso exposuit: Oc- »
cultæ claues sunt do- »
ctæ suadelæ sacrorum- »
amorum, ô Phœbe: & »
inter deos & homines »
pariter verecundantur »
palàm dulci frui pri- »
mùm cubili *Nam te »
(quem fas non est mendacio tangere) mouerunt blandi mores ad eloquendum hunc sermonem.



Universidad de Deusto Biblioteca

Universidad de Deusto Biblioteca

ρας δ᾽ ὁπόθεν γενεὰν
ἐξερωτᾷς ὦ ἄνα, κύρι-
ον ὃς πάντων τέλος
οἶσθα, καὶ πάσας κελεύθους,
ὅσσα τε χθὼν ἠρινὰ φύλ-
λ᾽ ἀναπέμπει, χ᾽ ὦπόσαι
ἐν θαλάσσᾳ καὶ ποταμοῖς ψάμμαθοι
κύμασι ῥιπαῖς τ᾽ ἀνέμων κλονέονται
χ᾽ ὅ, τι μέλλει, χ᾽ ὦ, πόθεν
ἔσσεται, εὖ καθορᾷς·
εἰ δὲ γε χρὴ καὶ παρ᾽ σοφὸν ἀντιφερίξαι

στροφὴ γ. κῶλ. ιε.

ἐρέω· ταύτᾳ πόσις ἵκεο βᾶσσαν
τάνδε, καὶ μέλλεις ὑπὲρ πόντου, Διὸς
ἔξοχον ποτὶ κᾶπον ἐνεῖκαι,
ἔνθα νιν ἀρχέπολιν
θήσεις, ἐπὶ λαὸν ἀγείραις
νασιώταν ὄχθον ἐς ἀμ-
φίπεδον. νῦν δ᾽ εὐρυλείμων
πότνιά σοι Λιβύα
δέξεται εὐκλέα νύμφαν
δώμασιν ἐν χρυσέοις
πρόφρων, ἵνα οἱ χθονὸς αἶσαν
αὐτίκα συντελέθειν



Túu' verò puellæ genus sci-
scitaris vnde sit ô rex; qui
ratum omnium exitum nos-
ti, & omnes vias: & quot
tellus folia verna summit-
tat, & quot in æquore &
fluuiis arenæ fluctibus im-
petúque ventorum voluan-
tur: & quid euenturum sit &
quid vnde futurum, probè
perspicis? Sed si licet etiam
cum sapiente me æquari *in
arte diuinandi* * dicam,
Huic maritus *futurus* venisti
in hanc vallem, & eã trans-
portaturus es super mare
in eximium Iouis hortum.
vbi eam ciuitati imperan-
tem constitues, populum in-
sularem vbi congregaueris
in collem campis vtrinque
cinctum. nunc autem spa-
tiosa campis venerabilis Li-
bya excipiet illustrẽ nym-
pham ædibus aureis lubens.
vbi ei telluris partem statim
donabit, vt *eam* efficiat

Universidad de Deusto
Biblioteca



ἔννομον δωρήσεται,
οὔτε παγκάρπων φυτῶν
νήποινον, οὔτ' ἀγνῶτα θηρῶν.
ἀντιστρ. κῶλ. ιε.
ἔνθα παῖδα τέξεται, ὃν κλυτὸς Ἑρμᾶς
εὐθρόνοις Ὥραισι καὶ Γαίᾳ, ἀνελὼν
φίλας ὑπὸ ματέρος, οἴσει.
ταὶ δ' ἐπιγουνίδιον
θησάμεναι βρέφος αὐταῖς,
νέκταρ ἐν χείλεσσι καὶ ἀμ-
βροσίαν στάξοισι· θήσονταί
τέ μιν ἀθάνατον
Ζῆνα καὶ ἁγνὸν Ἀπόλλω-
ν', ἀνδράσι χάρμα φίλοις·
ἄγχιστον ὀπάονα μήλων,
ἀγρέα καὶ νόμιον,
τοῖς δ' Ἀρισταῖον καλεῖν.
ὣς ἄρ' εἰπὼν, ἔντυεν
τερπνὰν γάμου κραίνειν τελευτάν.
ἐπῳ. κῶλ. ιδ.
" ὠκεῖα δ' ἐπειγομένων ἤδη θεῶν
" πρᾶξις, ὁδοί τε βραχεῖαι.
κεῖνο κεῖν' ἆμαρ διαίτα-
σεν. θαλάμῳ δὲ μίχθεν



legum obseruatricem. quæ
*pars* neque plantarum om-
nifructiferarum sit expers,
neq; nescia ferarũ· *Ibi fili
um pariet, quem inclytus
Mercurius sublatum à cha-
ra matre, afferet ad seden-
tes pulchris in thronis Ho-
ras & Tellurem. Hę autem
super genua sua quũ infan-
tem posuerint, nectar labris
& ambrosiam instillabunt,
efficiéntque illum immor-
talem, *sicut* & Iouem &
sanctum Apollinem, viris
gaudium amicis, proximũ
pedissequum pecudum. vt
ipsi *eum* appellent Aristæũ
*cognomento* ἀγρέα & νόμιον, *id
est* *venatorem & pastorem.*
Sic loquutus, hortabatur
iucundum nuptiarum vt
perficeret exitum. *Celer
autem *est* properãtium iam
deorum actio, viæque bre-
ues. Illud illa dies peregit.
In thalamo autem Libyæ

ἐν πολυχρύσῳ Λιβύας,
ἵνα κάλλισταν πόλιν
ἀμφέπει, κλεινάν τ' ἀέθλοις.
καὶ νῦν ἐν Πυθῶνί νιν ἀ-
γαθέα Καρνιάδα
ὑιὸς εὐθαλεῖ συνέμιξε τύχᾳ·
ἔνθα νικήσας, ἀνέφανε Κυράναν.
ἅ νιν εὔφρων δέξεται
καλλιγύναικι πάτρᾳ
δόξαν ἱμερτὰν ἀγαγόντ' ἀπὸ Δελφῶν.

στροφ. δ'. κῶλ. ιε'.

« ἀρεταὶ δ' αἰεὶ μεγάλαι πολύμυθοι·
« βαιὰ δ' ἐν μακροῖσι ποικίλλειν, ἀκοὰ
« σοφοῖς. ὁ δὲ καιρὸς ὁμοίως
« παντὸς ἔχει κορυφάν·
ἔγνων ποτὲ καὶ Ἰόλαον
οὐκ ἀτιμάσαντά νιν ἑ-
πτάπυλοι Θῆβαι· τὸν, Εὐρυ-
σθῆος ἐπεὶ κεφαλὰν
ἔπραθεν ἐν φασγάνου ἀκμᾷ,
κρύψαν ἔνερθ' ὑπὸ γᾶν,
διφρηλάτα Ἀμφιτρύωνος
σάματι· πατροπάτωρ
ἔνθά οἱ Σπαρτῶν ξένος



diuite auri congressi sunt, vbi pulcherrimam vrbem tutatur inclytámque certaminibus. Et nunc apud Pythonem diuinam Carniadæ filius ipsam floridæ coniunxit fortunæ. vbi victoria potitus, illustrauit Cyrenē quæ eum beneuola accipiet, pulchras mulieres habenti patriæ gloriam amabilem qui attulit ex Delphis. *Virtutes magnæ »
semper *sunt* multorum verbo- »
rum, at pauca in prolixis *argu-* »
*mentis* vario artificio sermo- »
nis edisserere, auditio sapienti- »
bus. Verùm opportunitas eo- »
dem modo rei omnis habet ca- »
put. Cognouerunt aliquando »
& Iolaum non aspernatum eam septenis portis illustres Thebæ: quem postquam ensis acie caput Eurysthei amputasset, occultauerunt infernè sub terra prope sepulchrum Amphitryonis curruum agitatoris, vbi *ille Amphitryo eius* paternus auus hospes Spartorum

Universidad de Deusto Biblioteca

κεῖτο, λευκίπποισι Κα-
δμείων μετοικήσαις ἀγυιαῖς.

ἀντιστροφὴ κῶλ. ιε.

τέκε οἱ καὶ Ζηνὶ μιγεῖσα δαΐφρων
ἐν μόναις ὠδῖσιν Ἀλκμήνα διδύμων
κρατησιμάχον σθένος υἱῶν.
κωφὸς ἀνήρ τις, ὃς Ἡ-
ρακλεῖ στόμα μὴ περιβάλλει,
μηδὲ Διρκαίων ὑδάτων
ἀεὶ μέμναται, τά νιν θρέ-
ψαντο, καὶ Ἰφικλέα·
τοῖσι τέλειον ἐπ' εὐχᾷ
κωμάσομαί τι παθὼν
ἐσλόν. Χαρίτων κελαδεννᾶν
μή με λίποι καθαρὸν
φέγγος. Αἰγίνᾳ τε γὰρ
φαμὶ Νίσου τ' ἐν λόφῳ
τρὶς δὴ πόλιν τάνδ' εὐκλεΐξαι,

ἐπῳ. κῶλ. ιδ.

σιγαλὸν ἀμαχανίαν ἔργῳ φυγών.
οὕνεκεν εἰ φίλος ἀστῶν,
εἴ τις ἀντιάει, τό γ' ἐν ξυ-
νῷ πεπονημένον εὖ,
μὴ λόγον βλάπτων ἁλίοι-



iacebat, quum commigrasset ad Cadmeorum vicos, qui *vici* teruntur ab equis albis. *Peperit, cum eo & cum Ioue congressa Alcmena solers in vnico partu robur gemellorum filiorũ in pugnis victoriosum. Mutus vir *est* qui Herculi os non applicat, neque Dircęarum aquarum sęper meminit, quæ illum educarunt & Iphiclem quos hymno celebrabo, affectus *ab illis* beneficio *optata* perficiente, per preces. Charitum illustrium me non deficiat lumen. nam & apud Æginam & apud Nisi collem dico vrbem hanc ter decorasse, qui factis
* taciturnam mœstitiam desperabundam effugerit. Quare siquis ex ciuibus amicus *est* ei, siquis inimicus, at certê quod in commune præclarê gestum est, ne celet, sermonem marini

γέροντος, κρυπτέτω.
« κεῖνος αἰνεῖν καὶ τὸν ἐχθρὸν
« παντὶ θυμῷ σύν τε δίκᾳ
« καλὰ ῥέζοντ᾽ ἔννεπε.
πλεῖστα νικήσαντά σε καὶ τελεταῖς
ὡρίαις ἐν Παλλάδος εἶδον· ἄφωνοί
θ᾽ ὡς ἑκάστα φίλτατον
παρθενικαὶ πόσιν ἢ
υἱὸν εὔχοντ᾽, ὦ Τελεσίκρατες, ἔμμεν,

στροφ. ε. κῶλ. ιε

ἐν Ὀλυμπίοισί τε καὶ βαθυκόλπου
γᾶς ἀέθλοις, ἔν τε καὶ πᾶσιν ἐπιχω-
ρίοις. ἐμὲ δ᾽ οὖν τις ἀοιδᾶν
δίψαν ἀκειόμενον
πράσσει χρέος, αὖτις ἐγεῖραι
καὶ παλαιῶν δόξαν τεῶν
προγόνων· οἷοι Λιβύσσας ἀμ-
φὶ γυναικὸς ἔβαν
Ἴρασαν πρὸς πόλιν Ἀνταί-
ου, μετὰ καλλίκομον
μναστῆρες ἀγακλέα κούραν·
τὰν μάλα πολλοὶ ἀρι-
στῆες ἀνδρῶν αἴτεον
σύγγονοι, πολλοὶ δὲ καὶ



senis violans. Ille *enim* præcepit laudare etiam inimicum toto animo, qui præclaras res gerit cum iustitia. Sæpenumero vidi potitum te victoria & in solennitatibus Palladis; quæ certo tempore recurrunt: tacitæque puellæ vt optarent ô Telesicrates esse *te sibi* vnaquæque charissimum maritũ aut filium, in Olympicis quoque & profundè sinuosæ terræ certaminibus, & in omnibus cuiusque regionis. Mihi igitur carminum sitim curanti, aliquis iniungit munus excitandi rursum & veterum gloriam tuorum maiorum: quales Libyssa pro fœmina profecti sint ad vrbem Antæi Irassam, ad pulchricomam proci valdè celebrem puellam, Quam valdè multi fortitudinis primatum obtinentes viri petebant cognati, multi etiam

Universidad de Deusto
Biblioteca



ξείνων· ἐπεὶ θαητὸν εἶδος

ἀντιστρ. κῶλ. ιε.

ἔπλετο· χρυσοστεφάνου δέ οἱ ἥβας
καρπὸν ἀνθήσαντ' ἀποδρέψαι ἔθελον.
πατὴρ δὲ θυγατρὶ φυτεύων
κλεινότερον γάμον, ἄ-
κουσεν Δαναόν ποτ' ἐν Ἄργει
οἷον εὗρε τεσσαράκον-
τα καὶ ὀκτὼ παρθένοισι,
πρὶν μέσον ἆμαρ ἐλθεῖν,
ὠκύτατον γάμον. ἔστα-
σεν γὰρ ἅπαντα χορὸν
ἐν τέρμασιν αὐτίκ' ἀγῶνος,
σὺν δ' ἀέθλοις ἐκέλευ-
σεν διακρῖναι ποδῶν,
ἅντινα σχήσοι τις ἡ-
ρώων, ὅσοι γαμβροί σφιν ἦλθον.

ἐπῳ. κῶλ. ιδ.

οὕτω δ' ἐδίδου Λίβυς ἁρμόζων κόρᾳ
νυμφίον ἄνδρα· ποτὶ γραμ-
μᾷ μὲν αὐτὰν στᾶσε κοσμή-
σαις, τέλος ἔμμεν ἄκρον·
εἶπε δ' ἐν μέσσοις, ἀπάγε-
σθαι ὃς ἂν πρῶτος θορὼν



ex peregrinis: quoniam admiranda forma *eius* *erat:& auro coronatæ pubertatis fructum efflorescentem decerpere volebant. Sed pater filiæ moliens illustrius cõiugium, audiuit Danaum quondã apud Argos quale nactus esset quadraginta octo virginibus velocissimum connubium, priusquam medius dies veniret. Collocauit enim vniuersum chorum statim in metis certaminis: & in certaminibus pedum iussit diiudicare quam quisque heroũ habiturus esset, quicumque generi ipsis venissent. *Sic autem dabat Libys copulans filiæ spõsum virum. Ipsam quidẽ quum exornasset, collocauit ad lineam, terminus vt esset extremus. ac dixit in mediis, vt abduceret *eam* quicunque primus prosiliens.

ἀμφί οἱ ψαύσειε πέπλοις.
ἔνθ᾽ Ἀλεξίδαμος, ἐπεὶ
φύγε λαιψηρὸν δρόμον,
παρθένον κεδνὰν χερὶ χειρὸς ἑλὼν
ἄγεν ἱππευτᾶν Νομάδων δι᾽ ὅμιλον.
πολλὰ μὲν κεῖνοι δίκον
φύλλ᾽ ἔπι καὶ στεφάνους,
πολλὰ δὲ πρόσθεν πτερὰ δέξατο νίκας.

## ΙΠΠΟΚΛΕΑΙ

### Θεσσαλῷ, διαυλοδρόμῳ.

### Εἶδος Ι.

στροφὴ α, κῶλ. ι.

Ὀλβία Λακεδαῖμον,
μάκαιρα Θεσσαλία· πατρὸς
δ᾽ ἀμφοτέραις ἐξ ἑνὸς
ἀριστομάχου γένος Ἡρακλέος βασι-
τί κομπέω παρὰ καιρόν; [λεύει.
ἀλλά με Πυθώ τε καὶ τὸ
Πελινναῖον ἀπύειν,
Ἀλεύα τε παῖδες, Ἱπποκλέα,



amictus eius attigisset. Ibi Alexidamus, postquam euasit rapidum cursum, virginis nobilis manum manu prehendens duxit equestrium Nomadum per agmen. Multa in illā ipsi eiaculati sunt folia, & coronas, multas etiam antea alas accepit victoriæ.

## HIPPOCLEAE

### Thessalo, diauli cursori.

### Ode X.

FElix Lacedęmon & beata Thessalia. ambarum enim regnum obtinet genus Herculis strenuissimi pugnatoris ex vno patre. Quid glorior intempestiuè? Sed me Pytho & Pelinnæum & Aleuæ posteri Hippoclem *hortantur* sonare,

Universidad de Deusto Biblioteca

Universidad de Deusto
Biblioteca



θέλοντες ἀγαγεῖν ἐπικωμίαν
ἀνδρῶν κλυτὰν ὄπα.

ἀντιστρ. κῶλ. ι.

γεύεται γὰρ ἀέθλων·
στρατῷ τ' Ἀμφικτυόνων ὁ Παρ-
νάσσιος αὐτὸν μυχὸς
διαυλοδρομᾶν ὕπατον παίδων ἀνέει- [πε.
« Ἄπολλον. (γλυκὺ δ' ἀνθρώ-
« πων τέλος, ἀρχά τε, δαίμο-
« νος ὀρνύντος αὔξεται)
ὁ μέν που τεοῖσι μήδεσι τοῦ-
τ' ἔπραξε, τὸ δὲ συγγενὲς ἐμβέβα-
κεν ἴχνεσιν πατρὸς

ἐπῳ. κῶλ. η.

ὀλυμπιονίκα
δὶς ἐν πολεμοδόκοις Ἄρεος ὅπλοις·
θῆκεν καὶ βαθυλείμων α
ἀγὼν ὑπὸ Κίῤῥας
πέτραν κρατησίποδα Φρικίαν.
ἕποιτο μοῖρα καὶ ὑστέραισιν
ἐν ἁμέραις ἀγάνορα
πλοῦτον ἀνθεῖν σφίσι.

στρο. β. κῶλ. ι.

τῶν δ' ἐν Ἑλλάδι τερπνῶν



volentes *me* afferre inclytam vocem laudatricem virorum per choreales hymnos. * Gustat enim certamina, & innumerosa turba Amphictyonũ Parnassius recessus promulgauit *eum* summum inter iuuenes diauli cursores. O
Apollo (iucundus homini- »
bus exitus, principiúmque »
deo impellente crescit) hic »
certè tuo consilio hoc fecit: sed insita à stirpe *indoles* insistere *eum* fecit vestigiis patris * olympionicæ, bis in excipientibus bellum armis Martis. Certamen etiam sub rupe Cirrhæ profunda habente prata effecit Phrician victorem pedum *cursu*. Sequatur sors, & posterioribus in diebus, adeo vt ipsis superbificæ diuitiæ floreant, * ac suauitatum *quæ sunt* in Græcia,

λαχόντες οὐκ ὀλίγαν δόσιν,
μὴ φθονεραῖς ἐκ θεῶν
μετατροπίαις ἐπικύρσαιεν. θεὸς εἴη
„ ἀπήμων κέαρ. εὐδαί-
„ μων δὲ καὶ ὑμνητὸς οὗτος
„ ἀνὴρ γίνεται σοφοῖς,
„ ὃς ἂν χερσὶν ἢ ποδῶν ἀρετᾷ
„ κρατήσαις, τὰ μέγιστ' ἀέθλων ἕλῃ
„ τόλμᾳ τε καὶ σθένει,

ἀντιστρ. κῶλ. ι.

„ καὶ ζώων ἔτι νεαρὸν
„ κατ' αἶσαν υἱὸν ἴδῃ τυχόν-
„ τα στεφάνων Πυθίων.
„ ὁ χάλκεος οὐρανὸς οὔποτ' ἀμβατὸς [αὐτῷ·
„ ὅσαις δὲ βρότεον ἔθνος
„ ἀγλαΐαις ἁπτόμεσθα,
„ περαίνει πρὸς ἔσχατον
„ πλόον. ναυσὶ δ', οὔτε πεζὸς ἰὼν,
„ εὕροις ἂν ἐς Ὑπερβορέων ἀγῶ-
„ να θαυμαστὰν ὁδόν·

ἐπῳ. κῶ. ν.

παρ' οἷς ποτε Περσεὺς
ἐδαίσατο λαγέτας δώματ' ἐσελθὼν,
κλειτὰς ὄνων ἑκατόμβας,



sortiti non exiguam donationem, non incidant diuinitus in inuidas mutationes. deus sit *erga eos* corde alieno à nocendo. Fortunatus autem & „
celebris vir is est apud sapiē- „
tes qui manibus aut pedum „
strenuitate victoriam adeptus, „
maxima præmia obti- „
nuerit audacia pariter & robore: „
*viuénsque adhuc iuuenem „
filium viderit coronas „
Pythicas decenter consequu- „
tum. æreum cælum nunquam „
conscendendum ipsis. At splē- „
dores quoscunque *nos* mor- „
tale genus attingimus, perdu- „
cit vsque ad vltimum nauiga- „
tionis cursum. *Nec* nauibus „
autem, nec pedes iter faciens „
inuenias ad Hyperboreorum „
certamen admirandam viam. „
*Apud quos olim Perseus dux „
epulatus est, ædes ingressus, „
inclytas asinorum hecatom- „
bas,

ἐπιτόσσαις θεῷ
ῥέζοντας· ὧν θαλίαις ἔμπεδον
εὐφαμίαις τε μάλιστ' Ἀπόλλων
χαίρει, γελᾷ θ' ὁρῶν ὕβριν
ὀρθίαν κνωδάλων.

στροφὴ γ. κῶλ. ι.

Μοῖσα δ' οὐκ ἀποδαμεῖ
τρόποις ἐπὶ σφετέροισιν. παν-
τᾶ δὲ χοροὶ παρθένων,
λυρᾶν τε βοαὶ, καναχαί τ' αὐλῶν δο-
νέονται·
δάφνᾳ τε χρυσέᾳ κό-
μας ἀναδήσαντες εἰλα-
πινάζοισιν εὐφρόνως.
νόσοι δ' οὔτε γῆρας οὐλόμενον
κέκραται ἱερᾷ γενεᾷ· πόνων
δὲ καὶ μαχᾶν ἄτερ

ἀντιστρ. κῶλ. ι.

οἰκέοισι, φυγόντες
ὑπέρδικον Νέμεσιν· θρασεί-
ᾳ δὲ πνέων καρδίᾳ
μόλεν Δανάας ποτὲ παῖς (ἁγεῖτο δ'
ἐς ἀνδρῶν μακάρων ὅ- [Ἀθάνα]
μιλον, ἔπεφνέν τε Γοργό-



quum inueniſſet deo ſacrificantes. quorum feſtis dapibus lætíſque acclamationibus gaudet maximè Apollo, ridétque videns inſolentiam procerorũ animalium. Muſa autem non abeſt à moribus ipſorum, ſed circumquaque chori virginum, lyrarúmque clamores & ſtrepitus tibiarum voluuntur: lauróque aurea comas redimientes epulantur hilariter. *Nec* autem morbi nec ſenectus pernicioſa permixta ſunt ſacræ genti: ſed abſque laboribus & pugnis * habitant, euitantes vltricem Nemeſin. Audaci autem ſpirans corde venit Danaes quondam filius (dux autem viæ erat Minerua) ad *hunc* virorum beatorum cœtum, interfecítque Gorgo-



Universidad de Deusto Biblioteca

να, καὶ ποικίλον κάρα
δρακόντων φόβαισιν ἤλυθε, να-
σιώταις λίθινον θάνατον φέρων.
« ἐμοὶ δὲ θαυμάσαι,

ἐπῳ. κῶλ. η.

« θεῶν τελεσάντων,
« οὐδέν ποτε φαίνεται ἔμμεν ἄπιστον.
κώπαν σχάσον· ταχὺ δ' ἄγκυραν
ἔρεισον χθονὶ
πρῴραθεν, χοιράδος ἄλκαρ πέτρας.
« ἐγκωμίων γὰρ ἄωτος ὕμνων
« ἐπ' ἄλλοτ' ἄλλον, ὥστε μέ-
« λισσα, θύνει λόγον.

στροφὴ δ', κῶλ. ι.

ἔλπομαι δ' Ἐφυραίων
ὄπ' ἀμφὶ Πηνειὸν γλυκεῖ-
αν προχεόντων ἐμὰν,
τὸν Ἱπποκλέα ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς
ἕκατι στεφάνων, θα-
ητὸν ἐν ἄλιξι θησέ-
μεν, ἔν τε παλαιοτέροισι
νέαισίν τε παρθένοισι μέλημα.
« καὶ γὰρ ἑτέροισιν ἑτέρων ἔρως
« ἔκνιξε φρένας.



nem& variegatum caput draconum iubis rediit insularibus afferens, lapideã mortem. Mihi autem nihil in admirando videtur esse incredibile, * si dii exequuti sint. Remum inhibe, subitóque ancoram firmato in terram è prora, munimentum aduersus scopulos in mari latentes. Laudatoriorum enim flos hymnorum aliâs ad alium, sicut apis, festinat sermonem.

* Spero autem, Ephyræis circa Peneum vocem dulcem fundentibus meã, me effecturum vt Hippocles adhuc magis per carmina, ob coronas mirum in modum, coętaneis & senioribus, & iuuenibus virginibus sit curæ, & ab illis colatur. Nã aliis aliarũ rerũ cupido pectora pungit.



Universidad de Deusto Biblioteca

Universidad de Deusto
Biblioteca

ἀντιστρ. κῶλ. ι.

« τῶν δ' ἕκαστος ὀρούει,
« τυχών κεν, ἁρπαλέαν σχέθοι φρον-
« τίδα τὰν πὰρ ποδός.
« τὰ δ' εἰς ἐνιαυτὸν, ἀτέκμαρτον προ-
νοῆσαι.
πέποιθα ξενίᾳ προ-
σανεῖ Θώρακος, ὅσπερ
ἐμὰν ποιπνύων χάριν,
τόδ' ἔζευξεν ἅρμα Πιερίδων
τετράορον, φιλέων φιλέοντ', ἄγων
ἄγοντα προφρόνως.

ἐπῳδ. κῶλ. η.

« πειρῶντι δὲ καὶ χρυ-
« σὸς ἐν βασάνῳ πρέπει, καὶ νόος ὀρθός.
ἀδελφεούς τ' ἐπαινήσο-
μεν ἐσλούς, ὅτι
ὑψοῦ φέροντι νόμον Θεσσαλῶν
αὔξοντες. ἐν δ' ἀγαθοῖσι κεῖνται
πατρῷαι κεδναὶ πολί-
ων κυβερνάσιες.



* Quorum autem quisque »
desiderio rapitur, ea con- »
sequutus, cogitationem »
habet auidè arreptam quę »
est ante pedes. At post an- »
num *euentura* signis ca- »
rent quibus queant pro- »
spici. Fretus sum autem a-
micitia blanda hospitis
Thoracis, qui meum ex-
petens beneficium, hunc
iunxit currum Pieridum
quadriiugum, amans a-
mantem, ducens ducen-
tem beneuolé. * Explo- »
rante autem etiam aurum »
in Lydio lapide refulget, »
paritérque mens recta. »
Fratrésque laudabimus
probos: quòd in altum fe-
rant regionem quæ est sub
ditione Thessalorum, au-
gentes. Penes probos e-
nim sunt patriæ ciuitatum
nobiles gubernationes.

Universidad de Deusto Biblioteca



# ΘΡΑΣΥΔΑΙΩι ΘΗ-βαίῳ παιδὶ, σταδιεῖ.

## Εἶδος ΙΑ.

στροφὴ, α. κῶλ. θ.

Κάδμου κόραι, Σεμέλα
μὲν Ὀλυμπιάδων ἀγυιᾶτις, Ἰ-
νὼ δὲ Λευκοθέα ποντιᾶν
ὁμοθάλαμε Νηρηΐδων,
ἴτε σὺν Ἡρακλέος ἀριστογόνῳ
ματεὶ πὰρ Μελίαν, χρυσέων
εἰς ἄδυτον τριπόδων
θησαυρὸν, ὃν περίαλλ' ἐ-
τίμασε Λοξίας·

ἀντιστρ. κῶ. θ.

Ισμήνιον δ' ὀνύμα-
ξεν, ἀλαθέα μαντείων θῶκον. ὦ
παῖδες Ἁρμονίας, ἔνθα καὶ
νῦν ἐπίνομον ἡρωΐδων
στρατὸν ὁμηγυρέα καλεῖ συνίμεν,
ὄφρα Θέμιν ἱερὰν Πυθῶ-
νά τε καὶ ὀρθοδίκαν
γᾶς ὀμφαλὸν κελαδῆτε



# THRASYDAEO Thebano adolescen-ti, cursori stadij.

## Ode XI.

CAdmi filiæ, Semele quidem Olympiadum contubernalis, Ino autem Leucothea eosdem cum marinis Nereidibus thalamos incolens, ite cum Herculis generosa matre ad Meliam, ad adytum, aureorum tripodum thesaurum, quem eximiè pro sequutus est honore Apollo, * Ismeniúmque nominauit, veram vaticiniorum sedem. O filii Harmoniæ, huc & nunc consortem heroidum cœtum simul congregatum vocat ad conueniendum, vt Themin sacram Pythonémque & recta iudicia dantem Vmbilicum terræ resonetis

Universidad de Deusto
Biblioteca



ἄκρα σὺν ἑσπέρᾳ,

ἐπῳδ. κῶλ. ϛ.

ἑπταπύλοισι Θήβαις
χάριν, ἀγῶνί τε Κίρρας.
ἐν τῷ Θρασυδαῖος ἔμνασεν ἑστίαν,
τρίτος ἐπὶ στέφανον πατρῷαν βαλὼν,
ἐν ἀφνεαῖς ἀρούραισι Πυλάδα νικῶν,
ξένου Λάκωνος Ὀρέστα.

στροφ. β. κῶλ. θ.

τὸν δὴ, φονευομένου
πατρὸς Ἀρσινόα Κλυταιμνήστρας χε-
ρῶν ὑπὸ κρατερᾶν ἐκ δόλου
τροφὸς ἄνελε δυσπενθέος·
ὁπότε Δαρδανίδα κόραν Πριάμου
Κασσάνδραν πολιῷ χαλκῷ
σὺν Ἀγαμεμνονίᾳ
ψυχᾷ, πόρευ' Ἀχέροντος
ἀκτὰν παρ' εὔσκιον

ἀντιστροφὴ κῶλ. θ.

νηλὴς γυνά. πότερόν
νιν ἄρ' Ἰφιγένεια ἐπ' Εὐρίπῳ σφα-
χθεῖσα τῆλε πάτρας, ἔκνισε
βαρυπάλαμον ὄρσαι χόλον·
ἢ ἑτέρῳ λέχει δαμαλιζομέναν



Prima cum vespera,
* Thebis septem portas habentibus beneficium, certaminique Cirrhæ. In quo Thrasydeus memoriam renouauit paterni laris, tertius et coronam iniiciens, quum in opulentis aruis Pyladæ vinceret, hospitis Orestæ Laconis. * quem dum interficeretur pater validis Clytæmnestræ manibus, Arsinoe nutrix è dolo eripuit luctuoso, quando Dardanidæ filiam Priami Cassandram corusco ære cum Agamemnonia anima mittebat Acherontis ad ripam vmbrosam * immisericors mulier. verũ eã Iphigenia apud Euripũ mactata procul à patria, stimulauit ad suscipiendã iram grauia moliẽtem: an alieno in cubili lasciuientem iuuencæ more

ἔννυχοι παράγον κοῖται,
„ τὸ δὴ νέαις ἀλόχοις
„ ἔχθιστον ἀμπλάκιον, κα-
„ λύψαι τ' ἀμάχανον

ἐπῳ. κῶλ. ς.

„ ἀλλοτρίαισι γλώσσαις.
„ κακολόγοι δὲ πολῖται.
„ ἴσχει τε γὰρ ὄλβος οὐ μείονα φθόνον·
„ ὁ δὲ χαμηλὰ πνέων, ἄφαντον βρέμει.
θάνε μὲν αὐτὸς ἥρως Ἀτρείδας ἱκὼν
χρόνῳ κλυταῖς ἐν Ἀμύκλαις,

στρο. γ. κῶλ. θ.

μάντιν τ' ὄλεσσε κόραν,
ἐπεὶ ἀμφ' Ἑλένᾳ πυρωθέντων Τρώ-
ων ἔλυσε δόμους ἁβρότα-
τος. ὁ δ' ἄρα ξένον γέροντα Στρό-
φιον ἐξίκετο νέα κεφαλᾷ
Παρνασσοῦ πόδα ναίοντ'. ἀλλὰ
χρονίῳ σὺν Ἄρει
ἔπεφνε ματέρα, θῆκέ
τ' Αἴγισθον ἐν φοναῖς.

ἀντιστρ. κῶλ. θ.

ἦρ' ὦ φίλοι κατ' ἀμευ-
σίπορον τρίοδον ἐδινάθην, ὀρ-



nocturni transuersam e-
gerunt cõcubitus? Quod „
certè iuuenes nuptæ odi- „
osissimum *habent* delictũ, „
occultaréque impossibile „
*alienis linguis. Maledici „
enim *sunt* ciues, sustinét- „
que opulentia non mino- „
rẽ inuidiam. Qui autem „
humilia spirat, obscurè „
fremit. Interfectus est *i-* „
*gitur* ipse heros Atrides
reuersus tandem celebres
ad Amyclas, vatémque
amisit filiam, postquam
propter Helenam incen-
sis Troianis, spoliauit do-
mos opulento luxu. Ille
autem *Orestes* iuuenili
capite ad Strophium ho-
spitem senem accessit, qui
Parnassi pedem incole-
bat. sed tandem ferro oc-
cidit matrem, posuítque
Ægisthum in cædibus.

* Certè ô amici per tri-
uium gressus alternans
circum actus sum re-
[illegible]

Universidad de Deusto Biblioteca



τὰν κέλευθον ἰὼν τὸ πρίν. ἤ
μέ τις ἄνεμος ἔξω πλόου
ἔβαλεν, ὡς ὅτ' ἄκατον ἐναλίαν.
Μοῖσα, τὸ δ' ἐπὸν εἰ μισθῷ
συνέθευ παρέχειν
φωνὰν ὑπάργυρον, ἄλ-
λοτ' ἄλλα χρὴ ταρασσέμεν,

ἐπῳδ. κῶλ. ϛ.

ἢ πατρὶ Πυθιονίκῳ
τό γε νῦν, ἢ Θρασυδαίῳ,
τῶν εὐφροσύνα τε καὶ δόξ' ἐπιφλέγει.
τὰ μὲν ἅρμασι καλλίνικοι πάλαι
Ὀλυμπίᾳ τ' ἀγώνων πολυφάτων ἔσχον
θοὰν ἀκτῖνα σὺν ἵπποις·

στροφὴ δ', κῶλ. θ.

Πυθοῖ τε γυμνοὶ ἐπὶ
στάδιον καταβάντες, ἤλεγξαν Ἑλ-
λανίδα στρατιὰν ὠκύτα-
« τι. θεόθεν ἐραίμαν καλῶν
« δυνατὰ μαιόμενος ἐν ἁλικίᾳ.
« τῶν γὰρ ἀνὰ πόλιν εὑρίσκων
« τὰ μέσα μακροτέρῳ σὺν
« ὄλβῳ τεθαλότα, μέμ-
« φομ' αἶσαν τυραννίδων.



etiam quum antea insiste-
rem viã. An me aliquis ven-
tus extra nauigationis cursum
expulit, tanquam marinam
scaphã? Quòd si verè, ô Mu-
sa, mercede pacta es præbere
vocẽ argẽto se summittentẽ,
aliâs alia oportet cõmiscere
* aut patri *ipsius* Pythionicæ
nũc aut Thrasydæo quorum
successus ouans & decus re-
splendet. Curribus enim pul-
chræ victoriæ compotes
quondam, & apud Olympiã
certaminum multum decan-
tatorum adepti sunt fulgo-
rem cum equis: * & apud Py-
thonem nudi in stadium
quum descendissent, dedeco-
rarunt Græcanicam turbam
*suam* velocitate. Diuinitus »
optarim bona vires meas nõ »
excedentia affectans *singulis* »
*temporibus* meæ ætatis. Ex »
ciuilibus enim *bonis* quum »
comperiam *ea quæ sunt* me- »
diocria, diuturniore cum fe- »
licitate florere, ›queror de »
sorte regiorũ principatuum. »

ἀντιστρ. κῶλ. θ.

« ξυνᾶισι δ' ἀμφ' ἀρεταῖς
« τέταμαι. φθονεροὶ δ' ἀμύνονται ἄται.
« εἴ τις ἄκρον ἑλὼν, ἡσυχᾷ τε
« νεμόμενος, αἰνὰν ὕβριν
« ἀπέφυγεν· μέλανος δ' ἂν ἐσχατιὰν
« καλλίονα θανάτου ἔσχεν,
« γλυκυτάτᾳ γενεᾷ
« εὐώνυμον κτεάνων
« κρατίσταν χάριν πορών.

ἐπῳ. κῶλ. ϛ.

ἅτε τὸν Ἰφικλείδαν
διαφέρει Ἰόλαον,
ὑμνητὸν ἐόντα, καὶ Κάστορος βίαν,
σέ τ' ἄναξ Πολύδευκες, υἱοὶ θεῶν,
τὸ μὲν παρ' ἆμαρ ἕδραισι Θεράπνας,
τὸ δ' οἰ-
κέοντας ἔνδον Ὀλύμπου.



* communésque circa virtu- "
tes distentus sum. Inuidi au- "
tem puniuntur à *suo ipsorum* "
vitio, siquis fastigium *felici-* "
*tatis* adeptus, & *in* tranquil- "
litate degens, grauem inso- "
lentiam effugerit: at *ille* nigræ "
*mortis* in vltimis finibus pul- "
chriorem mortem conse- "
quitur, dulcissimæ soboli "
nominatissimum donũ præ- "
bens, possessionum præstan- "
tissimam. * Quæ Iphiclidem
Iolaum circumfert celebrem
existentem, & Castorem
fortem, téque rex Pollux, filii
deorum, alternis diebus se-
des Therapnes & intra O-
lympum habitantes.

Universidad de Deusto Biblioteca

# ΜΙΔΑι ΑΚΡΑΓΑΝ-τίνῳ, αὐλητῇ.

## Εἶδος ΙΒ.

στρο. α, κῶλ. ιϛ.

Αἰτέω σε φιλάγλαε, καλ-
λίστα βροτεᾶν πολίων,
Φερσεφόνας ἕδος, ἅ
τ' ὄχθαις ἔπι μηλοβότου
ναίεις Ἀκράγαντος εὔ-
δματον κολώναν· ὦ ἄνα
ἵλαος ἀθανάτων
ἀνδρῶν τε σὺν εὐμενείᾳ
δέξαι στεφάνωμα τόδ' ἐκ
Πυθῶνος εὐδόξῳ Μίδᾳ·
αὐτόν τέ νιν, Ἑλλάδα νικά-
σαντα τέχνᾳ τάν ποτε
Παλλὰς ἐφεῦρε, θρασειᾶν Γοργόνων
οὔλιον θρῆνον διαπλέξαισ' Ἀθάνα.

ἀντιστρ. κῶλ. ιϛ.

τὸν παρθενίοις ὑπό τ' ἀ-
πλάτοις ὀφίων κεφαλαῖς
ἄϊε λειβόμενον,



# MIDAE AGRIgentino, aulœdo.

## Ode XII.

PEto à te, ô splendoris amica, pulcherrima mortalium vrbium, Proserpinæ sedes, quæ in collibus pecudes alentis Acragantis habitas bene structã molem, ô regina, propitia, immortalium & hominum cum beneuolentia accipe coronam hanc celebris Midæ ex Pythone, atque illum ipsum, qui Græciam superauit arte quam olim Minerua vibratrix *hastæ* excogitauit, audacium Gorgonum perniciosum gemitũ contexens, *quẽ Perseus audiuit dum funderetur sub virginalibus & immensis serpentum capitibus,

δυςπενθεῖ σὺν καμάτῳ
Περσεὺς, ὁπότε τρίτον
ἄυσε κασιγνητᾶν μέρος,
ἐναλίᾳ Σερίφῳ
λαοῖσί τε μοῖραν ἄγων.
ἤτοι τό, τε θεσπέσιον
Φόρκοι' ἀμαύρωσεν γένος,
λυγρόν τ' ἔρανον Πολυδέκτᾳ
θῆκε, ματρός τ' ἔμπεδον
δουλοσύναν, τό, τ' ἀναγκαῖον λέχος,
εὐπαρᾴου κρᾶτα συλήσαις Μεδοίσας

στρο. β. κῶλ. ιϛ.

υἱὸς Δανάας, τὸν ἀπὸ
χρυσοῦ φαμὲν αὐτορρύτου
ἔμμεναι. ἀλλ' ἐπεὶ ἐκ
τούτων φίλον ἄνδρα πόνων
ἐρρύσατο παρθένος,
αὐλῶν τεῦχεν πάμφωνον μέ-
λος, ὄφρα τὸν Εὐρυάλας
ἐκ καρπαλιμᾶν γενύων
χριμφθέντα σὺν ἔντεσι μι-
μήσαιτ' ἐρικλάγκταν γόον.
εὗρεν θεός· ἀλλά νιν εὑροῖ-
σ' ἄνδρασι θνατοῖς ἔχειν,



luctuosa cum ærumna. quum tertiam debellauit sororum partem, marinæ Seripho populisque exitium afferens. Certè diuinum Phorci deleuit genus, & acerbum symbolum Polydectæ persoluit, matrisque stabilem seruitutem & coactum cõnubium, pulchras genas habentis caput quum rapuisset Medusæ, * filius Danaes, quem ex auro dicimus spontè fluente natum esse. Sed quum his charum virum laboribus liberasset virgo *Pallas*, tibiarum fabricata est omnisonum melos, vt Euryalæ ex rapacibus genis profusum luctum perstreperum imitaretur cũ organis. Inuenit *inquam* dea *tibiam*: sed eam quum inuenisset vt haberent viri mortales,



Universidad de Deusto Biblioteca

Universidad de Deusto Biblioteca



ὠνόμασεν κεφαλᾶν πολλᾶν νόμον,
εὐκλέα λαοσσόων μναστῆρ' ἀγώνων,

ἀντιστρ. κῶλ. ιδ.

λεπτοῦ διανισσόμενον
χαλκοῦ θ' ἅμα καὶ δονάκων,
τοὶ παρὰ καλλιχόρῳ
ναίοισι πόλει Χαρίτων,
Καφησίδος ἐν τεμέ-
νει, πιστοὶ χορευτᾶν μάρτυρες.
« εἰ δέ τις ὄλβος ἐν ἀν-
« θρώποισιν, ἄνευ καμάτου
« οὐ φαίνεται· ἐκ δὲ τελευ-
« τάσει νιν ἤτοι σάμερον
« δαίμων. τό γε μόρσιμον οὐ παρ-
« φυκτόν· ἀλλ' ἔσται χρόνος
« οὗτος ὃ καί τιν' ἀελπτίᾳ βαλὼν,
« ἔμπαλιν γνώμας, τὸ μὲν δώσει, τὸ δ'
« οὔπω.



nominauit capitum multorum harmoniam, illustrem admonitricem certaminum populum cientium, *tenue transeuntem per æs pariter & calamos, qui extant apud vrbem Charitum pulchro in loco fundatam, Cephesidis in luco, fideles testes ducentium choros. Quòd si »
qua felicitas inter homines *est*, »
non sine labore existit: sed eam »
ad exitum perducet aut hodie »
*aut postea* deus. Certè fatale de- »
cretum non euitabile: sed erit id »
tempus quod alicui quum des- »
perationem immiserit, contra »
opinionem hoc quidem dabit, »
illud autem nondum.

# ΠΙΝΔΑΡΟΥ
## Νέμεα.
### ΧΡΟΜΙῼ Αἰτναίῳ. Εἶδος Α.

στροφὴ α. κώλ. ι.

ΑΜΠΝΕΥΜΑ σεμνὸν Ἀλφεοῦ
κλεινᾶν Συρακοσσᾶν θάλος, Ὀρτυγία,
δέμνιον Ἀρτέμιδος,
Δάλου κασιγνήτα, σέθεν ἁδυεπὴς
ὕμνος ὁρμᾶται θέμεν
αἶνον ἀελλοπόδων μέγαν ἵππων,
Ζηνὸς Αἰτναίου χάριν.
ἅρμα δ' ὀτρύνει Χρομίου Νεμέα
θ' ἔργμασιν νικαφόροις
ἐγκώμιον ζεῦξαι μέλος.

ἀντιστρ. κώλ. ι.

* ἀρχαὶ δὲ βέβληνται θεῶν,



# PINDARI
## Nemea.
### CHROMIO AEtnæo.
### Ode I.

RESPIRAMEN magnificum Alphei, inclytarũ Syracusarũ germen, Ortygia, cubile Artemidis, Deli soror: à te suauiloquus hymnus aggreditur exponere laudẽ procellipedum magnam equorũ, Iouis Ætnæi in gratiã. Currus etiam Chromii incitat Nemeáque ad contexendum laudatorium melos factis victorialibus. * Procemia enim *sumpta* à diis,

Universidad de Deusto Biblioteca

« κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς.
« ἔστι δ' ἐν εὐτυχίᾳ
« πανδοξίας ἄκρον. μεγάλων δ' ἀέθλων
« Μοῖσα μεμνᾶσθαι φιλεῖ.
νῦν ἔγειρ' ἀγλαΐαν τινὰ νάσῳ
τὰν Ὀλύμπου δεσπότας
Ζεὺς ἔδωκεν Φερσεφόνᾳ, κατένευ-
σέν τέ οἱ χαίταις, ἀρι-
στεύοισαν εὐκάρπου χθονὸς

ἐπῳ. κῶλ. η.

Σικελίαν πίειραν ὀρθώ-
σειν κορυφαῖς πολίων ἀφνεαῖς.
ὤπασε δὲ Κρονίων
πολέμου μναστῆρα οἱ χαλκεντέος
λαὸν ἵππαιχμον, θαμὰ δὴ καὶ Ὀλυμ-
πιάδων φύλλοις ἐλαιᾶν
χρυσέοισι μιχθέντα. πολλῶν ἐπέβαν,
καιρὸν οὐ ψεύδει βαλών.

στρο. β. κῶλ. α.

ἔσταν δ' ἐπ' αὐλείαις θύραις
ἀνδρὸς φιλοξείνου, καλὰ μελπόμενος,
ἔνθα μοι ἁρμόδιον
δεῖπνον κεκόσμηται. θαμὰ δ' ἀλλοδα-[πῶν
οὐκ ἀπείρατοι δόμοι



posita sunt cum illius viri ad- »
mirandis virtutibus. Est au- »
tem in felicitate omnis gloriæ »
summum. Magnorum verò »
certaminum Musa meminisse »
solet. Nunc excita splendo- »
rem aliquem insulæ quam Olympi dominus Iupiter dedit Proserpinæ, & annuit capillis, principatum tenentem fertilis soli *Siciliam pinguem se exaltaturum cacuminibus ciuitatum opulentis. Præbuitque ei Saturnius belli vtentis æreis instrumentis studiosum populum, hasta ex equo pugnantem, qui sæpe etiam foliis aureis Olympiacarũ oliuarum se immiscuit. Multa ingressus sum, non iacto in tempus mendacio.

*Steti autem in vestibulo viri amantis hospitum egregia *facinora* celebrans, vbi mihi conueniens cœna adornata est. Frequenter autem peregrinorum non ignaræ sunt ædes

« ἐσλῶν. λέλογχε δὲ μεμφομένοις ἐσ-
« λὸς ὕδωρ καπνῷ φέρειν
« ἀντίον. τέχναι δ' ἑτέρων ἕτεραι·
« χρὴ δ' ἐν εὐθείαις ὁδοῖς
« στείχοντα μάρνασθαι φυᾷ.

ἀντιστρ. κῶλ. ι.

« πράσσει γὰρ ἔργῳ μὲν σθένος,
« βουλαῖσι δὲ φρήν, ἐσσόμενον προϊδεῖν
« συγγενὲς οἷς ἕπεται.
Ἀγησιδάμου παῖ, σέο δ' ἀμφὶ τρόπῳ
τῶν τε καὶ τῶν χρήσιες.
« οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦ-
« τον κατακρύψαις ἔχειν,
« ἀλλ' ἐόντων, εὖ τε παθεῖν καὶ ἀκοῦ-
« σαι, φίλοις ἐξαρκέων.
« κοιναὶ γὰρ ἔρχοντ' ἐλπίδες

ἐπῳ. κῶλ. η.

« πολυπόνων ἀνδρῶν. ἐγὼ δ' Η-
ρακλέος ἀντέχομαι προφρόνως,
ἐν κορυφαῖς ἀρετᾶν
μεγάλαις ἀρχαῖον ὀτρύνων λόγον·
ὡς, ἐπεὶ σπλάγχνων ὑπὸ ματέρος αὐ-
τίκα θαητὰν ἐς αἴγλαν
παῖς Διός, ὠδῖνα φεύγων, διδύμῳ
σὺν κασιγνήτῳ μόλεν·



*eius*. Est autem sors *hec* probi *viri*, vt obtrectantibus, aquam igni ferat contrariam. » Artes autem aliorum aliæ. » Oportet autem in rectis viis » ambulantem anniti naturæ » *viribus*. * Auxiliatur enim » operi quidem robur, consiliis autem mens, quæ comitatur à natura insita futurorum prospicientia. Tuis autem in moribus, Agesidami fili, horum & illorum vsus. Non cupio multas in ædibus » diuitias absconditas habere, » sed ex iis quæ adsunt bona » percipere, & bene audire, a- » micis subueniens. Commu- » nes enim veniunt spes *valde » ærumnosorum hominum. » Ego autem Herculem am- » plector libenter, in cacuminibus virtutum maximis antiquum accelerans sermonem. quo pacto, postquam ex visceribus matris statim admirabilem in fulgorem filius Iouis, ex partu *matris* euadens, gemello cum fratre venerit,

στροφ. γ. κῶλ. ι.

ὥς τ' οὐ λαθὼν χρυσόθρονον
Ἥραν, κροκωτὸν σπάργανον ἐγκατέβα.
ἀλλὰ θεῶν βασίλεια
σπερχθεῖσα θυμῷ, πέμπε δράκοντας
τοὶ μὲν οἰχθεισᾶν πυλᾶν [ἄφαρ.
ἐς θαλάμου μυχὸν εὐρὺν ἔβαν, τέ-
κνοισιν ὠκείας γνάθους
ἀμφελίξασθαι μεμαῶτες· ὁ δ' ὀρ-
θὸν μὲν ἄντεινεν κάρα,
πειρᾶτο δὲ πρῶτον μάχας,

ἀντιστρ. κῶλ. ι.

δισσαῖσι δοιοὺς αὐχένων
μάρψαις ἀφύκτοις χερσὶν ἑαῖς ὄφιας.
ἀγχομένοις δὲ χρόνος
ψυχὰς ἀπέπνευσεν μελέων ἀφάτων.
ἐκ δ' ἄρ' ἄτλατον δέος
πλᾶξε γυναῖκας ὅσαι τύχον Ἀλκμή-
νας ἀρήγοισαι λέχει.
καὶ γὰρ αὐτὰ ποσσὶν ἄπεπλος ὀρού-
σαισ' ἀπὸ στρωμνᾶς, ὅμως
ἄμυνεν ὕβριν κνωδάλων.

ἐπῳ. κῶλ. η.

Ταχὺ δὲ Καδμείων ἀγοὶ χαλ-



*& vt non latẽs aureo throno insidentem, Iunonem, croceas cunas ingressus sit: sed deorum regina irritata animo, miserit serpentes statim: qui apertis portis, in thalami penetralia lata venerunt, puerulis celeres malas circumplicare cupientes. Ille autem rectum extendit caput & specimen edidit primum pugnæ, duabus manibus suis effugium nõ dantibus duos ceruicibus corripiens serpentes. strangulatisque tempus animas exhalauit è mẽbris ineffabilibus. & intolerabilis metus perterrefecit mulieres quot quot fuerunt Alcmenes inseruientes cubili. nam ipsa sine vestibus prosiliens pedibus è lecto, tamen propulsauit iniuriam bestiarum. Confestim autem Cadmeorum duces æ-

κέοις σὺν ὅπλοις ἀθρόοι ἔδραμον.
ἐν χερὶ δ' Ἀμφιτρύων
κολεοῦ γυμνὸν ἐκτινάσσων ξίφος
ἵκετ', ὀξείαις ἀνίαισι τυπείς.
« τὸ γὰρ οἰκεῖον πιέζει
« πάνθ' ὁμῶς· εὐθὺς δ' ἀπήμων καρδία
« κᾶδος ἀμφ' ἀλλότριον.

στρο. δ. κῶλ. ι.

ἔστα δὲ θάμβει δυσφόρῳ
τερπνῷ τε μιχθείς· εἶδε γὰρ ἐκνόμιον
λῆμά τε καὶ δύναμιν
υἱοῦ. παλίγγλωσσον δέ οἱ ἀθάνατοι
ἀγγέλων ῥῆσιν θέσαν.
γείτονα δ' ἐκάλεσεν Διὸς ὑψί-
στου προφάταν ἔξοχον
ὀρθόμαντιν Τειρεσίαν. ὁ δέ οἱ
φράζε καὶ παντὶ στρατῷ
ποίαις ὁμιλήσει τύχαις·

ἀντιστρ. κῶλ. ι.

ὅσσοις μὲν ἐν χέρσῳ κτανών,
ὅσσοις δ' ἐν πόντῳ θῆρας ἀϊδροδίκας.
καί τινα σὺν πλαγίῳ
ἀνδρῶν κόρῳ στείχοντα τὸν ἐχθρότατον
φᾶσέ νιν δώσειν μόρον.



reis cum armis conferti ac-
currerunt. Amphitruo quo-
que manu nudum vagina en-
sem quatiens venit, acutis
doloribus saucius. Nam pro- »
prium *infortunium* premit »
omnem pariter: at statim »
afflictionis expers cor ob »
luctum alienum. *Constitit
autem stupore acerbo dele-
ctabilique permixtus. vidit
enim inusitatam generosita-
tem & fortitudinem filii. Di-
uersilinguem igitur immor-
tales nuntiorum sermonem
reddiderunt. Vicinum itaque
vocauit Iouis altissimi pro-
phetam eximium rectê vatici
nantem Tiresiam. Ille autem
ei dicebat & toti turbæ in
quibus versaturus esset for-
tunis: * quot in terra inter-
fecturus, quot & in mari be-
luas perniciosas. & quempi-
am cum obliqua insolentia
incedentem hominum ini-
micissimum dixit ei daturum
*pœnas* morte.

καὶ γὰρ ὅταν θεοὶ ἐν πεδίῳ Φλέ-
γρας γιγάντεσσιν μάχαν
ἀντιάζωσιν, βελέων ὑπὸ ῥι-
παῖσι κείνου φαίδιμαν
γαίᾳ πεφύρσεσθαι κόμαν

ἐπῳ. κῶλ. η.

ἔννεπεν· αὐτὸν μὰν ἐν εἰρή-
νᾳ τὸν ἅπαντα χρόνον σχερῷ
ἡσυχίαν καμάτων
μεγάλων ποινὰν λαχόντ' ἐξαίρετον
ὀλβίοις ἐν δώμασι δεξάμενον
θαλερὰν Ἥβαν ἄκοιτιν,
καὶ γάμον δαίσαντα πὰρ Δὶ Κρονίδᾳ
σεμνὸν αἰνήσειν δόμον.

## ΤΙΜΟΔΗΜΩι Ἀ-θηναίῳ, παγκρατιαστῇ.

### Εἶδος Β.

ὀγδοὰς α.

Ὅθεν περ καὶ Ὁμηρίδαι
ῥαπτῶν ἐπέων τὰ πόλλ' ἀοιδοὶ
ἄρχονται, Διὸς ἐκ προοιμί-



etenim quum dij in campo Phlegræ cum gigantibus prælio concurrerent, telorum illius impetu præclaram puluere commixtū iri comam *illorum* * dixit: ipsum verò in pace omne tempus deinceps tranquillitatem laborum magnorum præmium eximium consequutum recepta in beatas ædes Hebe coniuge florente, & nuptiis celebratis apud Iouem Saturnium, augustam laudaturū domū.

## TIMODEMO Atheniensi, pancratiastæ.

### Ode II.

VNde & Homeridæ cōsutilium carminum plerunque poetæ auspicantur, Iouis à proœmi-

Universidad de Deusto
Biblioteca



ου, καὶ ὅδ' ἀνὴρ
καταβολὰν ἱερῶν ἀγώνων
νικαφορίας δέδεκται
πρῶτον Νεμεαίου
ἐν πολυϋμνήτῳ Διὸς ἄλσει.

ὀγδοὰς β.

ὀφείλει δ' ἔτι, πατρίαν
εἴπερ καθ' ὁδὸν νιν εὐθύπομπος
αἰὼν ταῖς μεγάλαις δέδωκε
κόσμον Ἀθάναις,
θαμὰ μὲν Ἰσθμιάδων δρέπεσθαι
κάλλιστον ἄωτον, ἐν Πυ-
θίοισί τε νικᾶν
Τιμονόου παῖδ'. ἔστι δ' ἐοικὸς

ὀγδοὰς γ.

ὀρειᾶν γε Πελειάδων
μὴ τηλόθεν Ὠαρίωνα νεῖσθαι.
καὶ μὰν ἁ Σαλαμίς γε θρέψαι
φῶτα μαχατὰν
δυνατός. ἐν Τροίᾳ μὲν Ἕκτωρ
Αἴαντος ἄκουσεν. ὦ Τι-
μόδημε, σὲ δ' ἀλκὰ
παγκρατίου τλάθυμος ἀέξει.



o, hic quoque vir fundamentum sacrorum certaminum victoriæ sumpsit primùm in Nemeæo multum decantato Iouis luco. *Oportet autem (si paternam per semitam eum rectà deducens æuum magnis dedit Athenis ad ornamentum) frequenter Isthmiadum decerpere pulcherrimũ florem, in Pythiisque victorem esse Timonoi filium. Est autẽ consentaneũ, *mõtanis à Pleiadibus non procul Orionẽ incedere. Quinetiam Salamis potis est educare virum bellicosum. Apud Troiam enim Hector Aiacem audiuit. Te autem, ô Timodeme, fortitudo pancratii laboriosa promouet.

Universidad de Deusto Biblioteca

ὀγδοὰς δ'.

Ἀχάρναι δὲ παλαίφατον
εὐάνορες· ὅσσα δ᾽ ἀμφ᾽ ἀέθλοις
Τιμοδημίδαι ἐξοχώτα-
τοι προλέγονται,
παρὰ μὲν ὑψιμέδοντι Παρνα-
σῷ τέσσαρας ἐξ ἀέθλων
νίκας ἐκόμιξαν.
ἀλλὰ Κορινθίων ὑπὸ φωτῶν

ὀγδοὰς ε'.

ἐν ἐσλοῦ Πέλοπος πτυχαῖς,
ὀκτὼ στεφάνοις ἔμιχθεν ἤδη·
ἑπτὰ δ᾽ ἐν Νεμέᾳ. τὰ δ᾽ οἴκοι,
μάσσον᾽ ἀριθμῷ,
Διὸς ἀγῶνι. τὸν ὦ πολῖται
κωμάξατε, Τιμοδήμῳ
σὺν εὐκλεῖ νόστῳ·
ἀδυμελεῖ δ᾽ ἐξάρχετε φωνᾷ.



*Acharnæ autem *secundum* priscam famam strenuæ *sunt.* O quoties in certaminibus Timodemidæ excellentissimi recensentur primi! Apud Parnassum enim altè regnatorem quatuor victorias ex certaminibus reportarunt. At Corinthiis à viris *in boni Pelopis recessibus, coronis octo se immiscuerunt iam: septem autem apud Nemeam. Domi autē in Iouis certamine *præclarè gestæ res* maiores *sunt* numero. quem ô ciues choreali hymno celebrate, cum Timodemi glorioso reditu: suauisonáque auspicamini voce.

Universidad de Deusto · Biblioteca

# ΑΡΙΣΤΟΚΛΕΙΔΗ Αἰγινήτῃ, παγκρατιαστῇ.

## Εἶδος Γ.

στρο. α. κῶλ. ιγ.

Ὦ Πότνια μοῖσα, μᾶτερ
ἁμετέρα, λίσσομαι,
τὰν πολυξέναν ἐν
ἱερομηνίᾳ Νεμεάδι
ἵκεο Δωρίδα νᾶσον Αἴγι-
ναν. ὕδατι γὰρ μένοντ᾽ ἐπ᾽ Ἀσωπίῳ
μελιγαρύων τέκτονες
κώμων νεανίαι, σέ-
θεν ὄπα μαιόμενοι.
« διψῇ δὲ πρᾶγος ἄλλο μὲν ἄλλου·
ἀεθλονικία δὲ μάλιστ᾽ ἀοιδὰν
φιλεῖ, στεφάνων ἀρετᾶν τε
δεξιωτάταν ὀπαδόν.

ἀντιστρ. κῶλ. ιγ.

τᾶς ἀφθονίαν ὄπαζε
μήτιος ἁμᾶς ἄπο.
ἄρχε δ᾽ οὐρανῷ πο-



# ARISTOCLIdæ AEginetæ, pancratiastæ.

## Ode III.

O Veneranda Musa, mater nostra, supplex oro, venias in Æginam insulam Doricam multi hospitem in sacro mense Nemeadis. aquam enim apud Asopicam expectant iuuenes mellisonorum fabri hymnorum, tuam vocem perquirentes. Desiderat autem alia »res aliud: sed certami-»num victoria maximè cantum amat, coronarum & strenuitatum aptissimam comitem.

* Cuius *cantus* abundantiam præbe ex mea solertia, & exordire

λωυεφέλα κρέοντι θύγατερ,
δόκιμον ὕμνον. ἐγὼ δ' ἐκείνων
τέ νιν ὀάροις λύρᾳ τε κοινώσομαι·
χαρίεντα δ' ἕξει πόνον,
χώρας ἄγαλμα, Μυρμι-
δόνες ἵνα πρότεροι
ᾤκησαν, ὧν παλαίφατον ἀγορὰν
οὐκ ἐλεγχέεσσιν Ἀριστοκλείδας
τεὰν ἐμίανε κατ' αἶσαν,
ἐν περισθενεῖ μαλαχθεὶς

ἐπῳ. κῶλ. η.

παγκρατίου στόλῳ. καματωδέων δὲ πλα- [γᾶν
ἄκος ὑγιηρὸν, ἐν βαθυπεδίῳ Νεμέᾳ
τὸ καλλίνικον φέρει.
« εἰ δ' ὢν καλὸς, ἔρδων τ' ἐοικότα μορ-
« ἀνορέαις ὑπερτάταις ἐπέβα [φᾷ
« παῖς Ἀριστοφάνδς, οὐκέτι πρόσω
« ἀβάταν ἅλα κιόνων
« ὑπὲρ Ἡρακλέος περᾶν εὐμαρές·

στροφ. β. κῶλ. ιγ.

ἥρως θεὸς ἃς ἔθηκε,
ναυπλίας ἐσχάτας
μάρτυρας κλυτάς· δά-
μασε δὲ θῆρας ἐν πελάγει



illustrẽ hymnum, filia eius qui
est potens cæli multinubis. ego
autem eum illorum sermoni-
bus & lyræ communicabo.
festiuúmque habebit laborem,
regionis simulachrum. in qua
Myrmidones prisci habita-
runt, quorum iam olim cele-
bratum forum Aristoclides nõ
contaminauit dedecoribus tuã
per sortem, in præpotenti ex-
ercitatus * pancratii impetu.
laboriosarum autem plaga-
rum remedium salubre apud
Nemeam profundos campos
habentem, pulchra victoria
affert. Quòd si formosus exi- »
stens, & faciens consentanea »
formæ, strenuitates supremas »
conscendit filius Aristopha- »
nis, non iam vlterius inuium »
mare columnas vltra Herculis »
traiicere facile: * quas deus »
heros statuit nauigationis pe-
nitissimæ testes inclytos. do-
muit autem beluas in pelago

ὑπερόχους, ἰδίᾳ τ' ἐρεύνα-
σε τεναγέων ῥοὰς, ὅπα πόμπιμον
κατέβαινεν νόστου τέλος,
καὶ γᾶν φράδασσε. θυμὲ,
τίνα πρὸς ἀλλοδαπὰν
ἄκραν ἐμὸν πλόον παραμείβεις;
Αἰακῷ σε φαμὶ γένει τε μοῖσαν
« φέρειν. ἕπεται δὲ λόγῳ δί-
« κας ἄωτος, ἐσλὸς αἰνεῖν.

ἀντιστρ. κῶλ. ιγ.

« οὐδ' ἀλλοτρίων ἔρωτες
« ἀνδρὶ φέρειν κρέσσονες·
« οἴκοθεν μάτευε.
ποτίφορον δὲ κόσμον ἔλαβες,
γλυκύ τι γαρυέμεν. παλαιαῖ-
σι δ' ἐν ἀρεταῖς γέγαθε Πηλεὺς ἄναξ
ὑπέραλλον αἰχμὰν ταμών.
ὃς καὶ Ἰωλκὸν εἷλε
μόνος ἄνευ στρατιᾶς,
καὶ ποντίαν Θέτιν κατέμαρψεν
ἐγκονητί. Λαομέδοντα δ' εὐρυ-
σθενὴς Τελαμὼν, Ἰόλα πα-
ραστάτας ἐὼν, ἔπερσεν.



ingentes, & per se scrutatus est stagnorum fluxus, vbi reductorium descendit ad reditus finem, & terram indicauit. Anime, ad quod peregrinum promontorium eam nauigationem prætervehis? Æaco te iubeo & generi musam ferre. Sequi- »
tur autem sermonem flos »
iustitiæ, probos laudare. »
* Nec desideria bona sunt, »
*aliqua* ex alienis cuiquam »
adferre. E domo inuesti- »
ga. Accommodum orna- »
mentum accepisti, rem dulcem celebratu. Antiquis autem in virtutibus gauisus est Peleus rex, eximiam hastam quum secuisset, qui Iolcum expugnauit solus sine exercitu, & marinam Thetin corripuit cum labore. Laomedontem autem præpotens Telamō prostrauit, Iolæ adstans in prælio.

ἐπῳ. κῶλ. η.

καί ποτε χαλκοτόξων Ἀμαζόνων μετ'
    ἀλκαὶ
ἕπετό οἱ. οὐδέ μιν ποτὲ φόβος ἀνδροδά-
ἔπαυσεν ἀλκαὶ φρενῶν. [μας
« συγγεννεῖ δέ τις ἀδεξίᾳ μέγα βρίθει
« ὃς δὲ διδακτ' ἔχει, ψεφεινὸς ἀνήρ,
« ἄλλοτ' ἄλλα πνέων, οὔ ποτ' ἀτρεκεῖ
« κατέβα ποδί· μυριᾶν
« δ' ἀρεταῖν ἀτελεῖ νόῳ γεύεται.

στρο. γ, κῶλ. ιγ.

ξανθὸς δ' Ἀχιλλεὺς, τὰ μὲν μέ-
νων Φιλύρας ἐν δόμοις,
παῖς ἐὼν, ἄθυρε
μεγάλα ἔργα χερσὶ θαμινά.
βραχυσίδαρον ἄκοντα πάλλων,
ἶσον τ' ἀνέμοις, μάχᾳ λεόντεσσιν ἀ-
γροτέροις ἔπρασσεν φόνον,
κάπρους τ' ἔναιρε· σώμα-
τα δὲ παρὰ Κρονίδαν
Κένταυρον ἀσθμαίνοντα κόμιζεν,
ἑξέτης τὸ πρῶτον. ὅλον δ' ἔπειτ' αὖ
χρόνον τὸν ἐθάμβεεν Ἀρτα-
μίς τε καὶ θρασεῖ' Ἀθάνα



& quondam ad ſtrenuum exercitum æreos arcus habentium Amazonum ſequutus eſt eum. neque ei vnquam timor virorum domitor extinxit fortitudinem animi. Sic ex in- »
genita virtute illuſtri quiſque »
magnum pondus obtinet: at »
qui ex diſciplina accepit ea »
quæ habet obſcurus vir, aliâs »
alia ſpirâs, nunquam pede ex- »
actè ſtabili incedit, ſed infi- »
nitas virtutes non ſufficiente »
mente deguſtat. *Flauus au- »
tem Achilles commorans in Philyræ ædibus, puer exiſtens luſitabat magna opera manibus crebrò: breuis ferri iaculum vibrans, & par ventis, præliando leonibus agreſtibus moliebatur cędem, apróſque interficiebat. Corpora autem ad Saturnium Centaurum palpitantia portabat ſexennis tũc primùm. toto deinde tempore eum obſtupeſcebant Artemiş & audax Minerua,

Universidad de Deusto
·Biblioteca·



ἀντιστρ. κῶλ. ιγ.

κτείνοντ' ἐλάφοις ἄνευ κυ-
νῶν δολίων θ' ἑρκέων·
ποσὶ γὰρ κράτισκε.
λεγόμενον δὲ τοῦτο πρότερον
ἔπος ἔχω· βαθυμῆτα Χείρων
τράφεν λιθίνῳ τ' Ἰάσον' ἔνδον τέ-
καὶ ἔπειτ' ἐν Ἀσκληπιόν.
τὸν φαρμάκων δίδαξεν
μαλακόχειρα νομόν·
νύμφευσε δ' αὖθις ἀγλαόκαρπ-
Νηρέως θύγατρα, γόνον τέ οἱ φέρ-
τατον ἀτίταλλεν, ἁρμέ-
νοισι πάντα θυμὸν αὔξων.

ἐπῳδ. κῶλ. η.

ὄφρα θαλασσίαις ἀνέμων ῥιπαῖ-
πεμφθεὶς
ὑπὸ Τροίαν, δορίκτυπον ἀλαλὰν Λυ-
κίων
τε προσμένοι καὶ Φρυγῶν,
Δαρδάνων τε. καὶ ἐγχεσιμόροις ἐπι-
μίξαις
Αἰθιόπεσι χεῖρας, ἐν φρασὶ πά-
ξαιθ' ὅπως σφίσιν μὴ κοίρανος ὀπίσ-



* interficientem ceruos sine canibus dolosisque septis. pedum enim excellebat velocitate. Habeo autem hunc sermonem qui dicebatur olim, Chiron alti consilii vir educauit Iasonem intra tectum lapideum, & postea Æsculapium. quem medicamentorum docuit applicationem multifariam quæ fit molli manu. Despondit deinde pulchrifrugem Nerei filiam, filiúmque eius præstantissimum educauit, animum promouens *per* omnia *rebus* conuenientibus.

*vt marinis ventorum impulsibus deductus ad Troiam, hastifremum tumultum Lyciorũ sustineret & Phrygum Dardanorúmq;, & consertis manibus cum Æthiopibus hastæ studio insanientibus, in pectore figeret, vt ne ipsis dominator retrorsum

πάλιν οἴκαδ' ἀνεψιὸς
ζαμενὴς Ἑλένοιο Μέμνων μόλοι.

στροφὴ δ, κῶλ. ιγ.

τηλαυγὲς ἄραρε φέγγος
Αἰακιδᾶν αὐτόθεν,
Ζεῦ· τεὸν γὰρ αἷμα,
σέο δ' ἀγὼν, τὸν ὕμνος ἔβαλεν
ὀπὶ νέων ἐπιχώριον χάρ-
μα κελαδέων. βοὰ δὲ νικαφόρῳ
σὺν Ἀριστοκλείδᾳ πρέπει.
ὃς τάνδε νᾶσον εὐκλε-
εῖ προσέθηκε λόγῳ,
καὶ σεμνὸν ἀγλααῖσι μερίμναις
" Πυθίου θεάριον. ἐν δὲ πείρᾳ
" τέλος διαφαίνεται ὧν τις
" ἐξοχώτερος γένηται·

ἀντιστροφὴ κῶλ. ιγ.

" ἐν παισὶ νέοισι παῖς, ἐν
" δ' ἀνδράσιν ἀνὴρ, τρίτον,
" ἐν παλαιτέροισι·
" μέρος ἕκαστον οἷον ἔχομεν
" βρότεον ἔθνος. ἐλᾷ δὲ καὶ τέσ-
" σαρας ἀρετὰς θνατὸς αἰών. φρονεῖν
" δ' ἐνέπει τὸ παρκείμενον.



denuò veniret Memnon animosus, Heleni patruelis. *Longè *latéque* fulgens lumen Æacidarum hinc compactum est, Iupiter: tuus enim sanguis, tuum certamen, quod hymnus attigit, voce iuuenum celebrans gaudium proprium ipsi regioni. Clamor autem victore cum Aristoclide excellit, qui hanc insulam celebri adiunxit sermoni, & Pythii templum venerabile ob pulchras cogitationes. In experientia "
autem finis conspicitur "
*eorum* in quibus aliquis "
excellentior sit. *Inter "
pueros puer, inter viros "
vir, tertiò, inter senes, "
*senex*: qualem partem v- "
namquanque habemus "
mortale genus. Percurrit "
autem & quatuor virtu- "
tes mortale æuum. Cogi- "
tare autem decet de eo "
quod prope est.



Universidad de Deusto Biblioteca

Universidad de Deusto
Biblioteca



τῶν οὐκ ἄπεστι. χαῖρε
φίλος· ἐγὼ τόδε τοι
πέμπω μεμιγμένον μέλι λευκῷ
σὺν γάλακτι· κιρναμένα δ' ἐέρσ' ἀμ-
φέπει πόμ' ἀοίδιμον Αἰο-
λῖσιν ἐν πνοαῖσιν αὐλῶν,

ἐπῳδ. κῶλ. η.

ὀψέ περ. ἔστι δ' αἰετὸς ὠκὺς ἐν πετα-
νοῖς,
ὃς ἔλαβεν αἶψα τηλόθεν μεταμαιό-
μενος
δαφοινὸν ἄγραν ποσίν.
κραγέται δὲ κολοιοὶ ταπεινὰ νέμονται.
τίν γε μὲν, εὐθρόνου Κλεοῦς ἐθελοί-
σας, ἀεθλοφόρου λήματος ἕνεκεν,
Νεμέας, Ἐπιδαυρόθεν
τ' ἄπο καὶ Μεγάρων δέδορκε φάος.



à quibus non abest *Aristoclides*. Salue amice: ego tibi hoc mitto mel mixtum albo cum lacte: commistus autem ros circundat potum celebrem Æolicis in flatibus tibiarum, *licet serò. Sed est aquila velox inter volatilia, quæ corripit statim procul vestigans cruentam prędam pedibus. Clamosi autem graculi humilia depascunt. Tibi certè, volente Clione quæ pulchrum habet thronum, ob generositatem victoriæ reportatricem, à Nemea & ab Epidauro & Megaris conspicuus est splendor.

Universidad de Deusto · Biblioteca

## ΤΙΜΑΣΑΡΧΩι ΑΙγινήτῃ, παλαιστῇ.

### Εἶδος Δ.

στροφὴ α. κῶλ. ιγ.

« Ἄριστος εὐφροσύνα
« πόνων κεκριμένων
« ἰατρός· αἱ δὲ σοφαὶ
« Μοισᾶν θυγατέρες ἀοιδαί,
« θέλξαν νιν ἁπτόμεναι.
« οὐ θερμὸν ὕδωρ τόσον
« γε μαλθακὰ τεύχει
« γυῖα, τόσσον εὐλογία
« φόρμιγγι συνάορος·
« ῥῆμα δ' ἐργμάτων χρονιώ-
« τερον βιοτεύει,
« ὅ, τι κε σὺν Χαρίτων τύχᾳ
« Γλῶσσα φρενὸς ἐξέλοι βαθείας.

ἀντιστρ. κῶλ. ιγ.

τό μοι θέμεν Κρονίδᾳ
τε Διὶ, καὶ Νεμέᾳ,
Τιμασάρχου τε πάλᾳ,
ὕμνου προκώμιον εἴη.



## TIMASARcho AEginetæ, palæstritæ.

### Ode IIII.

Optimus medicus* »
lætitia laborũ iu- »
dicatorum *ab exitu* : & »
sapientes Musarum fi- »
liæ odæ demulcent eos »
contingẽtes. neque ca- »
lida aqua tantum mol- »
lia efficit membra quã- »
tum laus citharæ co- »
mes. Sermo autem fa- »
ctis diurniùs viuit, quẽ »
cum Charitum fauore »
lingua ex mente extra- »
xerit profunda. *Quod »
mihi ponere Saturnióque Ioui, & Nemeæ, & luctæ Timasarchi, procemium hymni liceat.

δέξαιτο δ' Αἰακιδᾶν
εὔπυργον ἕδος δίκᾳ
ξεναρκέϊ κοινὸν
φέγγος. εἰ δ' ἔτι ζαμενεῖ
Τιμόκριτος ἀλίῳ
σὸς πατὴρ ἐθάλπετο, ποι-
κίλον κιθαρίζων,
θαμά κε τῷδε μέλει κλιθεὶς
ὕμνον κελάδησε καλλίνικον.

ἐπῳ. κῶλ. ιγ.

Κλεωναίου τ' ἀπ' ἀγῶ-
νος ὅρμον στεφάνων
πέμψαντα, καὶ λιπαρᾶν
εὐωνύμων ἀπ' Ἀθηνᾶν,
Θήβαις τ' ἐν ἑπταπύλοις·
οὕνεκ' Ἀμφιτρύωνος
ἀγλαὸν παρὰ τύμβον
Καδμεῖοί νιν οὐκ ἀέκον-
τες ἄνθεσι μίγνυον
Αἰγίνας ἕκατι. φί-
λοισι γὰρ φίλος ἐλθὼν,
ξένιον ἄστυ κατέδραμεν,
Ἡρακλέος ὀλβίαν πρὸς αὐλάν.



Accipiat autem Æacidarum bene turrita ſedes iuri hoſpitalitio cõmune lumen. Quòd ſi adhuc valdè viuido Timocritus ſole tuus pater foueretur, variè citharam pulſans frequenter huic carmini incumbens, hymnum ceciniſſet de pulchra victoria: *qui miſit à Cleonæo certamine textum coronarum, & ſplendidis ac celebribus ab Athenis, Thebáſque apud ſeptem portis clauſas. quoniam Amphitryonis præclarum ad tumulum Cadmei illum nõ inuiti floribus conſpergebant, proter Æginam. Ad amicos enim amicus profectus in hoſpitalem vrbem deſcendit, ad beatam Herculis aulam.

Universidad de Deusto · Biblioteca



στροφ. β. κῶλ. ιγ.

ξὺν ᾧ ποτὲ Τρωΐαν
καρτερὸς Τελαμὼν
πόρθησε, καὶ Μέροπας,
καὶ τὸν μέγαν πολεμιστὰν
ἔκπαγλον Ἀλκυονῆ·
οὐ τετραοσείας γε πρὶν
δυώδεκα πέτρῳ,
ἥρωάς τ' ἐπεμβεβαῶ-
τας ἱπποδάμους ἕλε
δὶς τόσους. ἀπειρομάχας
" ἐὼν κε φανείη
" λόγον ὁ μὴ ξυνιείς. ἐπεὶ
" ῥέζοντά τι καὶ παθεῖν ἔοικε.

ἀντιστρ. κῶλ. ιγ.

τὰ μακρὰ δ' ἐξενέπειν
ἐρύκει με τεθμὸς,
ὧραί τ' ἐπειγόμεναι.
ἴυγγι δ' ἕλκομαι ἦτορ,
νουμηνίᾳ θιγέμεν.
ἔμπα καίπερ ἔχει βαθεῖ-
α ποντιὰς ἅλμα
μέσσον, ἀντίτειν' ἐπιβου-
λίᾳ. σφόδρα δόξομεν



*Cum quo olim Troiam robustus Telamon expugnauit, & Meropes, & magnum illum bellatorem stupendum Alcyonea: non tamen prius vicit quàm quadrigas duodecim saxo, heroásq; equorum domitores bis tot qui conscenderant pessumdedit. Inexpertus belli videri " queat, quisquis *dictum* " hoc non intelligit: quo- " niam eum qui afficit *a-* " *lium malo* aliquo, etiam " pati, consentaneum ra- " tioni est. * Prolixa au- " tem eloqui prohibet me lex, horęque properantes: ac trahitur cor meum illecebrosa cupiditate contingendi nouilunium. Sed tamen, quámuis profundum pôti mare occupet medium, obsiste *aduersariorum* conatui. Multo videamur

δαΐων ὑπέρτεροι ἐν
φάει καταβαίνειν.
« φθονερὰ δ' ἄλλος ἀνὴρ βλέπων,
« γνώμαν κενεὰν σκότῳ κυλίνδει

ἐπῳδ. κῶλ. ιγ.

« χαμαὶ πετοῖσαν. ἐμοὶ
« δ' ὁποίαν ἀρετὰν
« ἔδωκε πότμος ἄναξ,
« εὖ οἶδ' ὅτι χρόνος ἕρπων
« πεπρωμέναν τελέσει.
ἐξύφαινε γλυκεῖα
καὶ τόδ' αὐτίκα φόρμιγξ
Λυδίᾳ σὺν ἁρμονίᾳ
μέλος πεφιλημένον
Οἰνώνᾳ τε καὶ Κύπρῳ,
ἔνθα Τεῦκρος ἀπάρχει
ὁ Τελαμωνιάδας· ἀτὰρ
Αἴας Σαλαμῖν' ἔχει πατρῴαν·

στροφὴ γ, κῶλ. ιγ.

ἐν δ' Εὐξένῳ πελάγει
φαενναὶ Ἀχιλλεὺς
νᾶσον· Θέτις δὲ κρατεῖ
Φθίᾳ. Νεοπτόλεμος δ' Α-
πείρῳ διαπρυσίᾳ.



hostibus superiores in
luce descendere. inui- »
dè autem alius vir intu- »
ens, consilium inane in »
tenebris voluit »
*quod cadit humi. Mi- »
hi autem qualem virtu-
tem dedit Fortuna re-
gina, certò scio quòd
insequens tempus fati
compotem efficiet. Cō-
texe statim dulcis ci-
thara Lydia cum har-
monia hoc quoque
carmen gratum OE-
nonæ & Cypro, vbi
Teucer imperat Te-
lamoniades: at Aiax Sa-
laminem obtinet pa-
triam: In Euxeno au-
tem pelago Achilles lu-
cidam insulam. Thetis
verò dominatur in Ph-
thia, Neoptolemus au-
tem in Epiro lata,

Universidad de Deusto · Biblioteca

Universidad de Deusto · Biblioteca



βουβόται τόθι πρῶνες ἔ-
ξοχοι κατάκεινται,
Δωδώναθεν ἀρχόμενοι,
πρὸς Ἰόνιον πόρον.
Γηλίου δὲ πὰρ ποδὶ λα-
τρείαν Ἰαωλκὸν
πολεμίᾳ χειρὶ προστραπὼν
Πηλεὺς παρέδωκεν Αἱμόνεσσι,
ἀντιστρ. κῶλ. ιγ.
δάμαρτος Ἱππολύτας
Ἀκάστου δολίαις
τέχναισι χρησάμενος.
τᾷ Δαιδάλου δὲ μαχαίρᾳ
φύτευέν οἱ θάνατον
ἐκ λόχου Πελίαο παῖς.
ἄλαλκε δὲ Χείρων,
καὶ τὸ μόρσιμον Διόθεν
πεπρωμένον ἔκφερε.
πῦρ δὲ παγκρατὲς, θρασυμα-
χᾶν τε λεόντων
ὄνυχας ὀξυτάτους, ἀκμαὶ
τε δεινοτάτων χάσαις ὀδόντων,
ἐπῳ. κῶλ. ιγ.
ἔγαμεν ὑψιθρόνων



vbi cacumina edita posita sunt, quæ pascunt boues, à Dodona incipientia vsque ad Ionium meatum. Pelii autem ad pedem Iaolcum hostili manu quum expugnasset Peleus, tradidit seruã Thessalis, * Hippolitæ vxoris Acasti dolosis artibus vsus. Dædali autem gladio machinatus est illi mortem ex insidiis filius Peliæ: sed Chiron defendit *eum*, & fatale *malum* depulit destinatum à Ioue: ignémque omnia vincentem, & audacium in pugna leonũ vngues acutissimos, aciémque valdè horrendorum dẽtiũ quũ cohibuisset, *duxit in vxorẽ alto solio insidentium

Universidad de Deusto · Biblioteca



μίαν Νηρεϊδων.
εἶδεν δ' εὔκυκλον ἕδραν,
τᾶς οὐρανοῦ βασιλῆες
πόντου τ' ἐφεζόμενοι,
δῶρα καὶ κράτος ἐξέ-
φαναν ἐς γένος αὐτῷ·
Γαδείρων τὸ πρὸς ζόφον οὐ
περατόν· ἀπότρεπε
αὖθις Εὐρώπαν ποτὶ
χέρσον ἔντεα ναός.
ἄπορα γὰρ λόγον Αἰακοῦ
παίδων τὸν ἅπαντά μοι διελθεῖν.

στροφ. δ, κῶλ. ιγ.

Θεανδρίδαισι δ' ἀε-
ξιγυίων ἀέθλων
κάρυξ ἕτοιμος ἔβαν,
Ὀλυμπίᾳ τε καὶ Ἰσθμοῖ,
Νεμέᾳ τε συνθέμενος.
ἔνθα πεῖραν ἔχοντες, οἴ-
καδε κλυτοκάρπων
οὐ νέοντ' ἄνευ στεφάνων.
πάτραν νιν ἀκούομεν
Τιμάσαρχε τεὰν ἐπινι-
κίοισιν ἀοιδαῖς



vnam Nereidum. Vidit etiam pulchrè circundàtum ſedile, cui reges cæli mariſque inſidentes, dona & potentiam exhibuerunt ipſi vſque ad poſteritatem. Gadium *pars vergens* ad occaſum trãſiri nequit. conuerte armamenta nauis ad Europam terrã. impoſſibile enim ſermonem de Æaci filiis omnem mihi percurrere. *ſed Theandridis certaminũ membra augẽtium præco promptus veni, fœdere inito cum Olympia & Iſthmo & Nemea: vbi ſpecimen edentes, domum non ſine coronis nouis inclytum fructum ferentibus redeunt. Patriam illam audimus Timaſarche tuam carminibus triumphalibus

πρόπολον ἔμμεναι. εἰ δέ τοι
μάτρωΐ μ' ἔτι Καλλικλεῖ κελεύεις

ἀντιστρ. κῶλ. ιγ.

στάλαν θέμεν Παρίου
λίθου λευκοτέραν.
« ὁ χρυσὸς ἑψόμενος
« αὐγὰς ἔδειξεν ἁπάσας·
« ὕμνος δὲ τῶν ἀγαθῶν
« ἐργμάτων, βασιλεῦσιν ἰ-
« σοδαίμονα τεύχει
« φῶτα. κεῖνος ἀμφ' Ἀχέρον-
τι ναιετάων ἐμὰν
γλῶσσαν εὑρέτω κελαδή-
σαν, ὀρσοτριαίνα
ἵν' ἐν ἀγῶνι βαρυκτύπου
θάλησε Κορινθίοις σελίνοισιν.

ἐπῳδ. κῶλ. ιγ.

τὸν Εὐφάνης ἐθέλων
γεραιὸς προπάτωρ
ὁ σὸς ἀείσεται παῖ.
ἄλλοισι δ' ἅλικες ἄλλοι.
« τὰ δ' αὐτὸς ἄν τις τύχῃ,
« ἔλπεταί τις ἕκαστος
« ἐξοχώτατα φάσθαι.



ministram esse. quòd
si auunculo me ad-
huc Callicli iubes
* columnam ponere
Pario lapide candi-
diorem, *id faciam.* »
*Sicut* aurum excoctũ »
fulgores *suos* patefa- »
cit omnes: *sic* hymnus »
rerũ præclarè gestarũ »
virum reddit regibus »
parem sorte. Ille apud »
Acherontem habi-
tans meam linguam
inueniat decantatri-
cem, quo pacto in
certamine *quod sacrũ*
*est Neptuno* tridentis
concussori grauistre-
po, decoratus fuerit
Corinthiacis apiis.
* quem Euphanes
senex progenitor tu
canet libens, ô ado-
lescens. Aliis alii sunt
coætanei. Quilibet »
autẽ ea quæ adeptus »
fuerit, sperat fore me »
moratu excellentis- »
sima.

οἶον αἰνέων κε Μελη-
σίαν, ἔριδα στρέφοι.
ῥήματα πλέκων ἀπά-
λαιστος ἐν λόγῳ ἕλκει,
μαλθακὰ μὲν φρονέων ἐσλοῖς,
τραχὺς δὲ παλιγκότοις ἔφεδρος.

## ΠΥΘΕΑι ΥΙΩι ΛΑΜ-
## πωνος, παγκρα-
## τιαστῇ.

### Εἶδος Ε.

στροφὴ α. κῶλ. ια.

Οὐκ ἀνδριαντοποιός εἰ-
μ', ὥστ' ἐλινύσοντ' ἐργάζε-
σθαι ἀγάλματ' ἐπ' αὐτᾶς βαθμίδος
ἑσταότ'· ἀλλ' ἐπὶ πάσας
ὁλκάδος, ἔν τ' ἀκάτῳ
στεῖχ' ἀπ' Αἰγίνας, διαγγέλ-
λοισ' ὅτι Λάμπωνος υἱὸς
Πυθέας εὐρυσθενὴς
νίκη Νεμέοις παγκρατίου στέφανον,
οὔπω γένυσι φαίνων τέρειναν



at solùm laudans Melesiam, contentionem *aliquis* auertat. Verba texens trahit insuperabilis in oratione, mollia quidem cogitans bonis, asper autem aduersarius inimicis.

## PYTHEAE FIlio Lamponis, pancratiastæ.

### Ode V.

Non statuarius sum ita vt fabricer simuchra quæ sint immobilia futura, super basin stantia: sed intra omnem nauē onerariā & cymbā proficiscere ô *musa* ab Ægina, nūtians quòd Lāponis filius Pytheas prȩualidus emeruit in Nemeis pācratij coronam. *Cuius* malæ nondum protulerunt autumnum, tenerum

ματέρ' οἰνάνθας ὀπώραν.

ἀντιστρ. κῶλ. ια.

ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥ-
ρωας αἰχματὰς φυτευθέν-
τας καὶ ἀπὸ χρυσέων Νηρηΐδων
Αἰακίδας ἐγέραρε,
ματρόπολίν τε, φίλαν ξένων ἄρουραν·
τάν ποτ' εὔανδρόν τε καὶ ναυ-
σὶ κλυτὰν θέασαντο, πὰρ βω-
μὸν πατέρος Ἑλλανίου
στάντες, πίτναν τ' ἐς αἰθέρα χεῖρας
Ἐνδαΐδος ἀρίγνωτες υἱοί, [ἁμᾶ
καὶ βία Φώκου κρέοντος,

ἐπῳδ. κῶλ. ια.

ὁ τᾶς θεοῦ, τὸν Ψαμάθεια
τίκτ' ἐπὶ ῥηγμῖνι πόντου.
αἰδέομαι μέγα εἰπεῖν, ἐν δίκᾳ τε
μὴ κεκινδυνευμένον.
πῶς δὴ λίπον εὐκλέα νᾶσον,
καὶ τίς ἄνδρας ἀλκίμους
δαίμων ἀποινώσας ἔλασεν, στάσομαι·
« οὔ τοι ἅπασα κερδίων
« φαίνοισα πρόσωπον ἀλάθει' ἀτρεκής,
« καὶ τὸ σιγᾶν, πολλάκις ἐστὶ σοφώ-



patrem florigeræ vitis. * Saturno autem & Ioue prognatos & aureis Nereidibus heroas bellicosos Æacidas decorauit, metropolínque, aruum amans hospitum: quam quondam & bene viris instructam & nauibus inclytam fundauerunt ad aram patris Hellenii stantes, tendebántque ad æthera palmas simul Endeidis celebres filii & Phocus rex fortitudine inclytus, * *filius* deæ Psamatheæ, quē *illa* peperit in littore maris. Verecundor rem magnam eloqui & periculose perpetratam, haud secundùm ius. Quomodo reliquerint celebrem insulam, & quis viros bellicosos deus vltus abegerit, supersedebo *dicere*. Non omnis veritas e- „
xacta patefaciens faciem, v- „
tilis *est*: sed scire tacere, est „
sæpe sapien-

α τατον ἀνθρώπων νοῆσαι·

στροφ. β, κώλ. ια.

εἰ δ' ὄλβον, ἢ χερῶν λίαν,
ἢ σιδηρεῖταν ἐπαινῆ-
σαι πόλεμον δεδόκηται, μακρά μοι
δ' αὐτόθεν ἅλμαθ' ὑποσκά-
πτοι τις, ἔχω γονάτων ἐλαφρὰν ὁρμάν·
καὶ πέραν πόντοιο πάλλον-
τ' αἰετοί· πρόφρων δὲ κἀκεί-
νοις ἄειδ' ἐν Παλίῳ
μοισᾶν ὁ κάλλιστος χορός. ἐν δὲ μοί-
σαις
φόρμιγγ' Ἀπόλλων ἑπτάγλωσσον
χρυσέῳ πλάκτρῳ διώκων

ἀντιστρ. κώλ. ια.

ἁγεῖτο παντοίων νόμων.
αἱ δὲ πρώτιστον μὲν ὕμνη-
σαν, Διὸς ἀρχόμεναι, σεμνὰν Θέτιν,
Πηλέα θ', ὥς τέ νιν ἁβρὰ
Κρηθεῖς Ἱππολύτα δόλῳ πεδᾶσαι
ἤθελε, ξυνεῦνα Μαγνή-
των σκοπὸν πείσαισ' ἀκοίταν
ποικίλοις βουλεύμασι.
ψεύσταν δὲ ποιητὸν συνέπαξε λόγον,



tissimum inter homines. »
*Si autem felicitatẽ *AEacidarum* aut manuum robur, aut ferreum laudare bellum placuerit, longósque mihi inde saltus fodiat aliquis, habeo genuum celerem impetum: & vltra mare feruntur aquilæ. Libens autem & illis canebat *in* Pelio musarum pulcherrimus chorus: inter musas autem citharam Apollo septilinguem aureo plectro pulsans, *inchoabat omnis generis melodias. Illæ verò primùm quidẽ hymnum cecinerunt in augustam Thetin, à Ioue exordientes, & in Peleum: vt eum tenera Hippolyte Cretheis dolo irretire voluerit, coniunx maritum Magnetũ moderatorem quum in suam sententiam pertraxisset, per varia commenta. mendacem autem factitiũ cõpegit sermonem,

Universidad de Deusto · Biblioteca



ὡς ἄρα νυμφείας ἐπείρα
κεῖνος ἐν λέκτροις Ἀκάστου

Ἐπῳ. κώλ. ια.

ἄναξ. τὸ δ' ἐναντίον ἔσκε·
πολλὰ γάρ μιν παντὶ θυμῷ
παρφαμένα λιτάνευεν. τοῦ δ' ὀργὰν
κνίζον αἰπεινοὶ λόγοι.
εὐθὺς δ' ἀπανάνατο νύμφαν,
ξεινίου πατρὸς χόλον
δείσαις. ὁ δ' ἐφράσθη, κατένευσέν τέ οἱ
ὀρσινεφὴς ἐξ οὐρανοῦ
Ζεὺς, ἀθανάτων βασιλεύς. ὥστ' ἐν
τάχει
ποντιᾶν χρυσαλακάτων τινὰ Νη-
ρεΐδων πράξειν ἄκοιτιν,

Στρο. γ. κώλ. ια.

γαμβρὸν Ποσειδάωνα πεί-
σαις, ὃς Αἰγᾶθεν ποτὶ κλειτὰν
θαμὰ νίσσεται Ἰσθμὸν Δωρίαν.
ἔνθα μιν εὔφρονες ἴλαι
σὺν καλάμοιο βοᾷ θεὸν δέκονται,
« καὶ σθένει γυίων ἐρίζον-
« τι θρασεῖ. πότμος δὲ κρίνει
συγγενὴς ἔργων περὶ



quòd sponsalem attentaret ille in stratis Acasti *torum. Hoc autem contrarium erat: multum enim illum toto ex animo adhortans suppliciter orabat. At huius affectum angebant ardui sermones, statímque recusauit sponsam, patris hospitum præsidis iram veritus. Animaduertit autem, annuítque ei ex cælo excitator nubium Iupiter immortalium rex, vt confestim aliquam marinarum Nereidum auream colum habentium efficeret coniugem, *genero Neptuno vbi *id* persuasisset, qui ab Ægis sæpe ad inclytam proficiscitur Isthmũ Doricam. vbi eũ hilares turmæ cum fistulæ clamore deum excipiunt, & robore membrorum certant audaci. Fortuna autem à »
natiuitate *vnũquenque* co- »
mitâs, est arbitra de factis »

Universidad de Deusto · Biblioteca



πάντων. τὺ δ' Αἰγίνᾳ θεᾶς Εὐθύμενες
Νίκας ἐν ἀγκώνεσσι πιτνῶν,
ποικίλων ἔψαυσας ὕμνων.

ἀντιστρ. κῶλ. ια.

ἤτοι μεταΐξαντα καὶ
νῦν τεὸς μάτρως ἀγάλλει
κείνου ὁμόσπορον ἔθνος Πυθέας.
ἁ Νεμέα μὲν ἄραρε,
μείς τ' ἐπιχώριος, ὃν φίλησ' Ἀπόλ-
λων·
ἅλικας δ' ἐλθόντας οἴκοι
τε κράτει, Νίσου τ' ἐν εὐαγ-
κεῖ λόφῳ. χαίρω δ' ὅτι
ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις.
ἴσθι γλυκεῖάν τοι Μενάνδρου
σὺν τύχᾳ μόχθων ἀμοιβὰν

ἐπῳ. κῶλ. ια.

ἐπαύρεο. χρὴ δ' ἀπ' Ἀθανᾶν
τέκτον' ἀεθληταῖσιν ἔμμεν.
εἰ δὲ Θεμίστιον ἵκεις ὥστ' ἀείδειν,
μηκέτι ῥίγει· δίδου
φωνάν· ἀνὰ δ' ἱστία τεῖνον
πρὸς ζυγὸν καρχασίου.
πύκταν τέ νιν καὶ παγκρατίῳ φθέγξαι



omnibus. Tu verò Euthymenes apud Æginam deæ Victoriæ in vlnas prolapsus, varios contigisti hymnos. *Certè *inde* prosilientem *te* & nunc tuus auunculus Pytheas decorat, illius consanguineam gentem. Nemea quidem adaptata est *ei* mensísque patrius, quem amat Apollo: coætaneos autem aduenas & domi superabat & apud tumulum Nisi pulchrè in valles deuexum. Gaudeo autem quòd de præclaris *factis* certat vniuersa ciuitas. Scito quòd dulcem remunerationem laborũ cum Menandri felici sorte *adeptus sis. Oportet autem ab Athenis artificem athletis esse. Quòd si accedis ad decantandum Themistium ne amplius exhorrescas, sed vocem ede & expande vela ad apicem corbis, pugilémque eum & pancratii dicito conse-

Universidad de Deusto · Biblioteca

λεῖν Ἐπιδαύρῳ διπλόαν
νικῶντ' ἀρέταν. προθύροισι δ' Αἰ-
ακοῦ
ἄνθεα ποιάεντα φέρειν στεφανώ-
ματα, σὺν ξανθαῖς Χάρισιν.

## ΑΛΚΙΜΙΔΗι ΑΙ- γινήτῃ, παιδὶ, παλαιστῇ.

### Εἶδος ς.

στροφὴ α. κῶλ. ιγ.

« ΕΝ ἀνδρῶν, ἓν θεῶν γένος, ἐκ
« μιᾶς δὲ πνέομεν
« ματρὸς ἀμφότεροι·
« διείργει δὲ πᾶσα κεκριμένα
« δύναμις. ὡς τὸ μὲν, οὐδέν·
« ὁ δὲ χάλκεος ἀσφαλὲς αἰεὶ ἕδος
« μένει οὐρανός. ἀλλά τι προσφέρομεν
« ἔμπαν, ἢ μέγαν νόον, ἤ-
« τοι φύσιν ἀθανάτοις·
« καίπερ ἐφαμερίαν
« οὐκ εἰδότες, οὐδὲ μετὰ



quutum esse in Epidauro
duplicem virtutẽ, quum
vinceret: & ad vestibu-
lum Æaci flores viridan-
tes ferre coronamenta,
cum flauis Charitibus.

## ALCIMIDAE AEginetæ, adolescen- ti, palæstritæ.

### Ode VI.

VNum hominum, v- „
num deorum genus, „
& ex vna spiramus matre „
vtrique. sed discriminat „
omnis separata potentia. „
quia hoc quidem *genus* „
*hominum* nihil est: at æ- „
reum cælum, firma sem- „
per sedes manet. Sed in a- „
liqua re tamẽ similes su- „
mus immortalibus, aut „
excelsa mente, aut indole. „
quanuis ignorãtes quam „

Universidad de Deusto
Biblioteca



« νύκτας, ἄμμε πότμος ἄντι-
« ν' ἔγραψε δραμεῖν ποτὶ στάθμαν.

ἀντιστρ. κῶλ. ιγ.

τεκμαίρει δὲ καὶ νῦν Ἀλκιμίδας
τὸ συγγενὲς ἰδεῖν,
ἄγχι καρποφόροις
ἀρούραισιν, αἵτ' ἀμειβόμεναι
τόκα μὲν ὦν βίον ἄνδρεσ-
σιν ἐπηετανὸν πεδίων ἔδοσαν,
τόκα δ' αὖτ' ἀναπαυσάμεναι, σθένος
μάρψαν. ἦλθέ τοι Νεμέας
ἐξ ἐρατῶν ἀέθλων
παῖς ἐναγώνιος, ὃς
ταύταν μεθέπων Διόθεν
αἶσαν, νῦν πέφαντ' οὐκ ἄμοι-
ρος ἀμφὶ πάλᾳ κυναγέτας,

ἐπῳ. κῶλ. ια.

ἴχνεσιν ἐν Πραξιδάμαν-
τος ἑὸν πόδα νέμων
πατροπάτορος ὁμαιμίου·
κεῖνος γὰρ Ὀλυμπιόνι-
κος ἐὼν, Αἰακίδαις
ἔρνεα πρῶτος ἀπ' Ἀλφεοῦ,
καὶ πεντάκις Ἰσθμοῖ



ad metam Fortuna præ- »
scripserit nos currere, »
diurnam aut per noctem. »
* Indiciis autem certis »]
exhibet conspiciendam
& nunc Alcimides co-
gnationem proximam cũ
frugiferis aruis, quæ al-
ternantia, aliquando vi-
ctũ hominibus annuum
ex campis suppeditant, a-
liquãdo autem postquam
requierunt, robur corri-
piunt. Venit Nemeæ ex
amabilibus ludis adole-
scẽs certaminum studio-
sus. qui hanc consectans
à Ioue *datam* sortem, nũc
apparuit non infortuna-
tus venator circa luctam,
* in vestigiis Praxida-
mantis aui paterni eo-
dem sanguine orti pedem
suũ dirigens. Hic enim vi-
ctoria Olympica potitus
inter Æacidas ramis pri-
mus ex Alpheo, & quin-
quies apud Isthmum

Universidad de Deusto
Biblioteca



στεφανωσάμενος, Νεμέᾳ δὲ τρεῖς·
ἔπαυσε λάθαν Σωκλείδα,
ὃς ὑπέρτατος Ἀγησιμάχῳ
υἱῶν ἐγένετο.

στροφ. β. κῶλ. ιγ.

ἐπεὶ οἱ τρεῖς ἀεθλοφόροι
πρὸς ἄκρον ἀρετᾶς
ἦλθον, οἵ τε πόνων
ἐγεύσαντο. σὺν θεοῦ δὲ τύχᾳ,
ἕτερον οὔ τινα οἶκον
ἀπεφάνατο πυγμαχία ταμίαν
στεφάνων μυχῷ Ἑλλάδος ἁπάσας.
ἔλπομαι μέγα εἰπὼν
ἄντα σκοποῦ τυχεῖν.
ὥστ' ἀπὸ τόξου ἱεί-
σ', εὐθὺς ἐπὶ τοῦτον ἄγε
Μοῖσα οὖρον ἐπέων εὐκλέα.
« παροιχομένων γὰρ ἀνέρων

ἀντιστρ. κῶλ. ιγ.

« ἀοιδοὶ καὶ λόγιοι τὰ καλὰ
« σφιν ἔργα ἐκόμιξαν.
Βασσίδαισιν ἅ τ' οὐ
σπανίζει· παλαίφατος γενεά,
ἴδια ναυστολέοντες



coronatus, apud Nemeam verò ter, sustulit obliuionem Soclidæ, qui natu maximus Agesimachi filiorum fuit: quoniam illi tres, præmiorum reportatores ad summitatem fortitudinis peruenerunt, qui labores experti sunt. Cum dei autẽ fauore aliam nullam familiam protulit pugilatus *adeo* custodem coronarum, *in* sinu Græciæ vniuersæ. Spero *me* magnificè loquutum, ad scopum collimaturum. *Tu* musa tanquam ab arcu eiaculans rectà ad hunc *scopum*, dirige ventum secundum sermonum qui celebris est. Nam vita functorũ hominum præclara opera poetæ & »
prosæ scriptores ipsis *sermonibus* imposuerunt: quæ apud »
Bassidas non sunt rara, *Qui Bassilæ* gens antiquitus celebrata, propria aduehentes

Universidad de Deusto Biblioteca



ἐπικώμια, Πιερίδων ἀρόταις
δυνατοὶ παρέχειν πολὺν ὕμνον, ἀγε-
ρώχων ἐργμάτων ἕνεκεν.
καὶ γὰρ ἐν ἀγαθέᾳ
χεῖρας ἱμάντι δεθεὶς
Πυθῶνι κράτησεν, ἀπὸ
ταύτας αἷμα πάτρας, χρυσα-
λακάτα ποτὲ Καλλίας ἁδὼν

ἐπῳ. κῶλ. ια.

ἔθνεσι Λατοῦς. παρὰ δὲ Κα-
σταλίᾳ τε χαρίτων
ἑσπέριος ὁμάδῳ φλέγεν,
πόντου τε γέφυρ' ἀκάμαν-
τος ἐν Ἀμφικτυόνων
ταυροφόνῳ τριετηρίδι
τίμασε, Ποσειδά-
νιον ἂν τέμενος βοτάνα τε νίν
ποθ' ἁ λέοντος νικάσαν-
τ' ἔρεφ' ἀσκίοις Φλιοῦντος ὑπ' ὠ-
γυγίοις ὄρεσι.

στροφ. γ. κῶλ. ιγ.

πλατεῖαι πάντοθεν λογίοι-
σιν ἐντὶ πρόσοδοι
νᾶσον εὐκλέα παν-



*facta* cantibus celebrabilia, cultoribus Pieridum possunt suppeditare amplam hymnorum *materiam* ob res magnificè gestas. Nam in diuina Pythone Callias, manus lorovinctus quōdam victoriam obtinuit, *qui fuit* sanguine iunctus huic familiæ: quum acceptus fuisset * stirpi Latonæ auream colum gestantis. & apud Castaliam cœtu Charitum vesperi refulgebat. maris quoque indefessi pōs in Amphictyonum trieteride mactatrice taurorum honorauit *eum* circa Neptunium delubrū. quinetiam herba leonis eum potitum victoria texit, sub vetustis montibus Phliuntis valdè vmbrosis. * Lati vndique eloquentibus aditus ad illustrem insulam hanc

Universidad de Deusto Biblioteca

δὲ κοσμεῖν, ἐπεί σφιν Αἰακίδαι
ἔπορον ἔξοχον αἶσαν,
ἀρετὰς ἀποδεικνύμενοι μεγάλας.
πέταται δ' ἐπί τε χθόνα καὶ διὰ θα-
λάσσας τηλόθεν ὄνομ' αὐ-
τῶν· καὶ ἐς Αἰθίοπας
Μέμνονος οὐκ ἀπονο-
στάσαντος, ἔπαλτο βαρὺ
δέ σφιν νεῖκος ἔμπεσ', Ἀχιλ-
λεὺς χαμαὶ καββὰς ἀφ' ἁρμάτων,

ἀντιστρ. κῶλ. ιγ.

φαεννᾶς υἱὸν εὖτ' ἐνάρι-
ξεν Ἀοῦς αἰχμᾷ
ἔγχεος ζακότοι-
ο. καὶ ταύταν μὲν παλαιότεροι
ὁδὸν ἀμαξιτὸν εὗρον·
ἕπομαι δὲ καὶ αὐτὸς ἔχων μελέταν.
« τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον
« αἰεὶ κυμάτων, λέγεται
« παντὶ μάλιστα δονεῖν
« θυμόν. ἑκόντι δ' ἐγὼ
νώτῳ μεθέπων δίδυμον
ἄχθος, ἄγγελος ἔβαν, πέμ-
πτον ἐπ' εἴκοσι τοῦτο γαρύων



laudandam. quoniam i-
psis Æacidæ dederunt e-
ximiam sortem, virtutes
edentes magnas. Volitat
itaque super terram &
per mare procul nomen
eorum. quinetiam ad Æ-
thiopas prosiluit, Me-
mnone non reuerso. Gra-
uis autem ipsis concerta-
tio incidit, quum Achil-
les in terram descendens
ex curribus, filium *il-
lustris Auroræ interfice-
ret cuspide hastæ perira-
cundæ. & hanc quidem
antiquiores viam plau-
stralem inuenerunt. se-
quor autem & ipse, ha-
bens exercitationem. Ex »
fluctibus autem semper »
is qui circa pedem nauis »
voluitur, dicitur cuilibet »
maximè perturbare ani- »
mum. Sed ego volunta- »
rio dorso subiens gemi-
num onus, nuntius adue-
ni, quintum supra viginti
hoc resonans

ἐπῳ. κῶλ. ια.

θῦχος ἀγώνων ἄπο τοὶς
ἐνέποισιν ἱεροῖς.
Ἀλκιμίδας τόγ᾽ ἐπάρκεσε
κλειτᾷ γενεᾷ. δύο μὲν
Κρονίου πὰρ τεμένει,
παῖ, σέ τ᾽ ὠνόσφισε Τιμίδαν
κλᾶρος προπετὴς ἄν-
θε᾽ Ὀλυμπιάδος. δελφῖνί κεν
τάχος δι᾽ ἄλμας ἴσον εἴποι-
μι Μελησίαν, χερῶν τε καὶ
ἰσχύος ἁνίοχον,

## ΣΩΓΕΝΕΙ ΑΙΓΙ-
## νήτῃ, παιδὶ πεν-
## τάθλῳ.

### Εἶδος Ζ.

στροφὴ α. κῶλ. ιβ.

« Ἰλείθυια πάρεδρος Μοιρᾶν βα-
« θυφρόνων,
« παῖ μεγαλοσθενέος ἄκουσον
« Ἥρας, γενέτειρα τέκνων. ἄνευ σέθεν



decus ex certaminibus quæ appellant sacra. Alcimidas hoc præstitit inclyto generi. Duos autem flores Olympicos, apud Saturnii delubrum, sors temeraria eripuit tibi *Alcimida* adolescens, & tibi Timida. Melesiam autem delphino in mari similem velocitate dixerim, manuum & roboris aurigam.

## SOGENI AEginetæ, adolescenti, *victoriam adepto* quinquertio.

### Ode VII.

LVcina quæ assides »
Parcis profundas »
cogitationes habenti- »
bus, filia multipotentis »
Iunonis, genitrix libe- »
rorum, audi. Absque te »

Universidad de Deusto Biblioteca

Universidad de Deusto Biblioteca

« οὐ φάος, οὐ μέλαιναν δρακέντες εὐφρόναν
« τεὰν ἀδελφεάν, ἐλάχομεν
« ἀγλαόγυιον ἥβαν.
« ἀναπνέομεν δ' οὐχ ἅπαντες ἐπὶ ἴσα.
« εἴργει δὲ πότμῳ ζυγόν
« θ' ἕτερον ἕτερα. σὺν δὲ τὶν,
καὶ παῖς ὁ Θεαρίωνος ἀρετᾷ κριθεὶς
εὔδοξος ἀείδεται Σω-
γένης μετὰ πενταέθλοις.

ἀντιστρ. κῶλ. ιϐ.

πόλιν γὰρ φιλόμολπον οἰκεῖ δορικτύ-
πων
Αἰακιδᾶν· μάλα δ' ἐθέλοντι
σύμπειρον ἀγωνίᾳ θυμὸν ἀμφέπειν.
« εἰ δὲ τύχῃ τις ἔρδων, μελίφρον' αἰτίαν
« ῥοαῖσι Μοισᾶν ἔβαλε.
« ταὶ μεγάλαι γὰρ ἀλκαὶ
« σκότον πολὺν ὕμνων ἔχοντι δεό-
μεναι.
« ἔργοις δὲ καλοῖς ἔσο-
« πτρον ἴσαμεν ἑνὶ σὺν τρόπῳ,
« εἰ Μναμοσύνας ἕκατι λιπαράμπυκος
» εὕρηται τις ἄποινα μόχθων,
« κλυταῖς ἐπέων ἀοιδαῖς.



non lucem, non atram intuiti »
noctem, tuam sororem, sor- »
titi sumus pulchrimembrem »
pubertatem. Spiramus autem »
nos omnes ad paria: sed aliud »
alia statera arcet à felicitate. »
At per te etiã filius Theario-
nis Sogenes iudicatus ex vir-
tute, nobilis decantatur inter
eos qui quinquertio victores
fuerunt. *Nam vrbẽ cantus
studiosam habitat strepen-
tium hasta Æacidarum: &
valdè cupiunt animum con-
seruare vnâ experientem
certamina. Quòd si quis *res* »
gesserit, dulcem materiam »
fluentis Musarum iniicit. Ma- »
gnæ enim strenuitates tene- »
bras multas habent, quum »
hymnis carent. & præclaris »
operibus speculum nouimus »
vnico modo, si quis volunta- »
te Mnemosynes splendidè »
vittatæ nactus sit remunera- »
tionem laborum inclytis »
carminum cantibus. »

ἐπῳ. κῶλ. ζ.

« σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον
« ἔμαθον, οὐδ' ὑπὸ κέρδει βάλον.
« ἀφνεός τε πενιχρός τε θανάτου
« παρὰ σᾶμα νέονται.
ἐγὼ δὲ πλέον' ἔλπομαι
λόγον Ὀδυσσέος ἢ πάθεν,
διὰ τὸν ἁδυεπῆ γενέσθ' Ὅμηρον.

ϛροφ. β, κῶλ. ιβ.

ἐπεὶ ψευδέεσσίν οἱ ποτανᾷ μαχανᾷ
σεμνὸν ἔπεστί τι· σοφία δὲ
κλέπτει παράγοισα μύθοις· τυφλὸν
δ' ἔχει
ἦτορ ὅμιλος ἀνδρῶν ὁ πλεῖστος. εἰ γὰρ ἦν
ἑὰν ἀλάθειαν ἰδέμεν,
οὔκεν ὅπλων χολωθεὶς
ὁ καρτερὸς Αἴας ἔπαξεν διὰ φρενῶν
λευρὸν ξίφος· ὃν κράτι-
ϛον, Ἀχιλλέος ἄτερ, μάχα
ξανθῷ Μενέλα δάμαρτα κομίσαι
θοαῖς
ἐν ναυσὶ πόρευσαν εὐθυ-
πνόου Ζεφύροιο πομπαὶ



Sapientes prospiciunt fu- »
turum ventum post tri- »
duum, neque postponunt »
lucro. diuésque paupérque »
mortis ad sepulchrũ pro- »
ficiscuntur. Ego autem e- »
xistimo famam Vlyssis
maiorem factã fuisse quàm
ea quæ pertulit propter
suauiloquum Homerum.
quoniam mendaciis eius
per volucre figmentũ gra-
uitas * quædam subest, ac
solertia decipit, abducens
*à ueritate* per fabulas. Cæ-
cúmque habet cor turba
hominum maxima. Si e-
nim liceret *cuique* suam
veritatem cognoscere, ne-
quaquam fortis Aiax, ira
percitus ob arma, fixisset
per præcordia latum en-
sem, quem in pugna stre-
nuissimum, Achille exce-
pto, ad flaui Menelai con-
iugem reducendam, in na-
uibus deduxerunt impul-
sus Zephyri rectà flantis

Universidad de Deusto Biblioteca

ἀντιστρ. κῶλ. ιϛ.

πρὸς Ἴλου πόλιν· ἀλλὰ κοινὸν γὰρ
ἔρχεται
κῦμ' ἀΐδαο, πέσε δ' ἀδόκητον
ἐν καὶ δοκέοντα· τιμὰ δὲ γίνεται
ὧν θεὸς ἁβρὸν αὔξει λόγον τεθνα-
κότων
βοαθόων. τοὶ πὰρ μέγαν
ὀμφαλὸν εὐρυκόλπου
ἔμολε χθονός, ἐν Πυθίοις δὲ δαπέδοις
κεῖται, Πριάμοιο πόλιν
Νεοπτόλεμος ἐπεὶ πράθε,
τᾷ καὶ Δαναοὶ πόνησαν. ὁ δ' ἀπο-
πλέων,
Σκύρου μὲν ἅμαρτεν, ἵκον-
το δ' εἰς Ἔφυραν πλαγχθέντες.

ἐπῳδ. κῶλ. ζ.

Μολοσσίᾳ δ' ἐμβασίλευεν ὀλίγον
χρόνον· ἀτὰρ γένος αἰεὶ φέρεν
τοῦτό οἱ γέρας. ᾤχετο δὲ πρὸς
θεόν, κτέατ' ἀνάγων Τρω-
ΐαθεν, ἀκροθινίων
θ' ἵνα κρεῶν νιν ὑπὲρ μάχας
ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ.



ad Ili vrbem. Sed enim communis accidit fluctus Orci, & cadit in non expectantem & expectantem. honorem autem consequuntur *illi strenui bellatores* quorum functorum vita deus iucundam famam promouet. Neoptolemus enim se contulit ad vmbilicum terræ, latum habentis sinum: in Pythiis autem campis iacet, Priami vrbem postquam euertit, in qua & Danai labores pertulerunt. Remeans verò, à Syro quidem aberrauit: venerunt autem in Ephyram erroribus acti.

Regnúmque Molossiæ obtinuit ad breue tempus, sed eius stirps hoc dec⁹ semper accepit. Profectus est autem ad Deũ opes aduehens è Troia: in qua *profectione* propter rixam de manubialibus carnibus vir confodit *eum* gladio, obuium factum.

στροφὴ γ, κῶλ. ιβ.

βάρυνθεν περισσὰ δὲ Δελφοὶ ξεναγέται·
ἀλλὰ τὸ μόρσιμον ἀπέδωκεν.
ἐχρῆν δέ τιν' ἔνδον ἄλσει παλαιτάτῳ
Αἰακιδᾶν κρεόντων τὸ λοιπὸν ἔμμεναι
θεοῦ παρ' εὐτειχέα δόμον,
ἡρωΐαις δὲ πομπαῖς
θεμίσκοπον οἰκεῖν ἐόντα πολυθύτοις·
εὐώνυμον ἐς δίκαν
τρία ἔπεα διαρκέσει.
οὐ ψεῦδις ὁ μάρτυς ἔργμασιν ἐπιστατεῖ.
Αἴγινα, τεῶν Διός τ' ἐκγόνων θρασύ μοι τόδ' εἰπεῖν

ἀντιστρ. κῶλ. ιβ.

φαενναῖς ἀρεταῖς ὁδὸν κυρίαν λόγων
" οἴκοθεν. ἀλλὰ γὰρ ἀνάπαυσις
" ἐν παντὶ γλυκεῖα ἔργῳ. κόρον δ' ἔχει
" καὶ μέλι, καὶ τὰ τέρπν' ἄνθε' Ἀφροδίσια.
" φυᾷ δ' ἕκαστος διαφέρο-



Indignati sunt autē vehementer Delphi hospitum exceptores: sed exoluit *quod erat* fatale. Oportebat enim aliquem ex Æacidis regibus intra delubrū vetustissimum in posterum esse iuxta dei domum bene cinctam muris, & heroicis in pompis habitare quæ abundant sacrificiis, existentem iuris inspectorem. Ad honestam causam tria verba sufficient. non mēdax testis factis præest. ô Ægina, tuorū Iouisque filiorum audacia mihi fuerit dicere * viā propriā sermonū virtutibus illustribus domo *allatā*. Sed requies in "
omni dulcis opere: sa- "
tietatémque habet & "
mel, & suaues flores Ve- "
nerei. Indole autē & na- "
turali propensione sin- "
guli differē-

« μεν βιοτὰν, λαχόντες
« ὁ μὲν τὰ, τὰ δ' ἄλλοι· τυχεῖν δ' ἕν' ἀ-
« δύνατον
« εὐδαιμονίαν ἅπα-
« σαν ἀνελόμενον. οὐκ ἔχω
« εἰπεῖν τίνι τοῦτο μοῖρα τέλος ἔμ-
« πεδον
« ὤρεξε. Θεαρίων, τὶν
δ' ἐοικότα καιρὸν ὄλβου

ἐπῳδ. κῶλ. ζ.

δίδωσι· τόλμαν τε καλῶν ἀραμένῳ
σύνεσις οὐκ ἀποβλέπει φρενῶν.
ξεῖνός εἰμι σκοτεινὸν ἀπέχων
ψόγον. ὕδατος ὥτε
ῥοὰς φίλον ἐς ἄνδρ' ἄγων,
κλέος ἐτήτυμον αἰνέσω.
ποτίφορος δ' ἀγαθοῖσι μισθὸς οὗτος.

στρο. δ. κῶλ. ιβ.

ἐὼν δ' ἐγγὺς Ἀχαιὸς οὐ μέμψεταί
μ' ἀνὴρ,
Ἰονίας ὑπὲρ ἁλὸς οἰκέων.
καὶ προξενίᾳ πέποιθ'· ἔν τε δαμόταις
ὄμματι δέρκομαι λαμπρὸν, οὐχ
ὑπερβάλλων,



tem habemus vitam, sortiti » alius hæc, alius illa: vnicum » autem impossibile est esse » cui contingat felicitatem v- » niuersam adipisci. nec pos- » sim dicere cuinam Parca » hanc perfectionem stabi- » lem præbuerit. At tibi Theario consentaneam opportunitatem felicitatis * tribuit. & te, vbi suscepisti audaciam ad præclara, non auersatur prudentia mentis. Hospes sum, tenebricosum summouens vituperium, Laudabo amicum virum, aduehens *ei* decus verum *& purum* tanquam riuos aquæ. Commoda enim *est* probis merces hæc. * Existens autem propè Achæus vir, non reprehẽdet me, Ionium super mare habitans. & amicitia hospitali fretus sum, & inter populares sum aspectu splendido, modum non excedens,

Universidad de Deusto
Biblioteca



βίαια πάντ' ἐκ ποδὸς ἐρύ-
σαις. ὁ δὲ λοιπὸς εὔφρων
ποτὶ χρόνος ἕρποι, μαθὼν δέ τις ἂν ἐ-
εἰ πὰρ μέλος ἔρχομαι, [ρεῖ
ψάγιον ὄαρον ἐννέπων.
Εὐξενίδα πάτραθε Σώγενες, ἀπομνύω
μὴ τέρμα προβὰς, ἄκοντ' ὥς-
τε χαλκοπάραον, ὄρσαι

ἀντιστρ. κῶλ. ιϛ.

θοὰν γλῶσσαν ὃς ἐξέπεμψας πα-
λαισμάτων
αὐχένα καὶ σθένος ἀδίαντον,
αἴθωνι πρὶν ἁλίῳ γυῖον ἐμπεσεῖν.
εἰ πόνος ἦν, τὸ τερπνὸν πλέον πεδέρ-
χεται.
ἔα με· νικῶντί γε χάριν,
εἴ τι πέρα ἀερθεὶς
ἀνέκραγον, οὐ τραχύς εἰμι καταθέμεν.
εἴρειν στεφάνους ἐλα-
φρὸν ἀναβάλλεο. Μοῖσά τοι
κολλᾷ χρυσὸν, ἔν τε χαλκὸν, ἐλέφανθ'
ἁμᾶ,
καὶ λείριον ἄνθεμον πον-
τίας ὑφελοῖσ' ἐέρσας.



violenta omnia à pedibus remouens, sequens verò tempus adueniat lætabile. Aliquis autem qui nouerit, dicet an decorum prætergrediar vituperatorium sermonem proferens. O Sogenes, qui es familia ab Euxeno oriunda, iuro *me* non progressum vltra terminum, vibrasse celerem linguam, velut iaculum æreas habens malas, *de te* qui eduxisti ex luctationibus ceruicem, & robur sudore non aspersum, priusquam in ardentem solem membra inciderent. Si laboriosum erat *hoc*, gaudium *eo* maius accedit. Sine me (siquid in altum sublatus vociferatus sim) victori gratificari. non sum difficilis in persoluendis *encomiis*. Plectere coronas leuiter omitte. Musa glutinat aurum, æs, & ebur, & lilium floridum à rore marino auulsum.

ἐπῳ. κῶλ. ζ.

Διὸς δὲ μεμναμένος, ἀμφὶ Νεμέᾳ
πολύφατον ὕμνων θρόον δόνει
ἡσυχῇ. βασιλῆα δὲ θεῶν
πρέπει δάπεδον ἄν τό-
δε γηρυέμεν ἡμέρᾳ
ὀπί. λέγοντι γὰρ Αἰακόν
μιν ὑπὸ ματροδόκοις γοναῖς φυτεῦσαι,

στροφὴ ε. κῶλ. ιβ.

ἐμᾷ μὲν πολύαρχον εὐωνύμῳ πάτρᾳ
Ἡράκλεες, σέο δὲ προπρεῶνα
« μὲν ξεῖνον ἀδελφεόν τ'. εἰ δὲ γεύεται
« ἀνδρὸς ἀνήρ, τί φαῖμέν κε γείτον'
« ἔμμεν
« νόῳ φιλήσαντά γ' ἀτενεῖ,
« γείτονι; χάρμα πάντων
« ἐπάξιον. εἰ δ' αὐτὸ καὶ θεὸς ἀν ἔχοι,
ἐν τίν κ' ἐθέλει, γίγαν-
τας ὃς ἐδάμασσας, εὐτυχῶς
ναίειν πατρὶ Σωγένης, ἀταλὸν ἀμ-
φέπων
θυμόν, προγόνων ἐϋκτήμονα ζαθέαν ἀγυιάν.



*Iouis quoque memor, apud Nemeam multiloquum hymnorum sonum voluito placidè. regem enim deorum decet hoc in solo prædicare sacra voce. quoniam aiunt illum satorem fuisse Æaci semine à matre recepto, *meæ quidem illustri patriæ præsidentis, ô Hercules, tui autem beneuoli hospitis & fratris.
Quòd si vir viro habet »
opus, quid dicemus vici- »
num esse vicino, qui in- »
tento animi affectu dili- »
gat? nimirum gaudium »
*alijs* omnibus æquipa- »
randum. Quòd si hoc ipsum *gaudium* etiam deus præstet, tecum, qui gigantas domuisti *tanquam* cum patre Sogenes velit habitare feliciter opulentum & diuinum vicum progenitorum mollem animum fouens.

ἀντιστρ. κῶλ. ιϐ.

ἐπεὶ τετραύροισιν ὥθ' ἁρμάτων ζυγοῖς
ἐν τεμένεσι δόμον ἔχει τε-
οῖς, ἀμφοτέρας ἰὼν χερός. ὦ μάκαρ,
τὶν δ' ἐπέοικεν Ἥραν πόσιν τε πειθέμεν
κόραν τε γλαυκώπιδα. δύνα-
σαι δὲ βροτοῖσιν ἀλκὰν
ἀμαχανιᾶν δυσβάτων θαμὰ διδόμεν.
εἰ γὰρ σφίσιν ἐμπεδο-
σθενέα βίοτον ἁρμόσαις,
ἥβᾳ λιπαρῷ τε γήρᾳ διαπλέκοις εὐ-
δαίμον' ἐόντα· παίδων
δὲ παῖδες ἔχοιεν αἰεὶ

ἐπῳ. κῶλ. ζ.

γέρας τόπερ νῦν, καὶ ἄρειον ὄπιθεν·
τὸ δ' ἐμὸν οὔ ποτε φάσει κέαρ
ἀτρόποισι Νεοπτόλεμον ἑλ-
« κύσαι ἔπεσι· ταῦτα
« δὲ τρὶς τετράκις τ' ἀμπολεῖν,
« ἀπορία τελέθει, τέκνοι-
« σιν ἅτε μαψυλάκας Διὸς Κόρινθος.



* quoniam domum habet in tuis delubris, velut quadriiugis curruum temonibus, ab vtraque manu incedens. O beate te decet Iunonem maritúmque *eius* flectere, puellámque cæsiam, potes autem mortalibus in angustias redactis exitum nullum habentes, remedium dare frequenter. Vtinam ipsis vitam stabile robur habentem accommodás, pubertate & lauta senectute intertexas felicẽ existentẽ: filiiq; filiorum habeãt semper * honorem quem nunc *habent*, atque adeo præstantiorem in posterũ. Meũ autem nunquam dicet cor peruersis Neoptolemum lacerasse verbis. Sed hæc ter »
quatérque reuoluere, inopia »
est, sicut eius qui pueris nu- »
gas effutiens, dicit Iouis Co- »
rinthus.

Universidad de Deusto Biblioteca

## ΔΕΙΝΙΑι ΥΙΩι ΜΕ-γα, σταδιεῖ.

### Εἶδος Η.

στροφὴ α, κῶλ. θ.

Ὡρα πότνια, κάρυξ
Ἀφροδίτας ἀμβροσιᾶν φιλο-
τάτων,
ἅτε παρθενίοισι παίδων τ' ἐφίζοι-
σα βλεφάροις, τὸν μὲν ἁμέροις ἀ-
νάγκας
χερσὶ βαστάζεις, ἕτερον δ' ἑτέραις.
« ἀγαπατὰ δὲ καιροῦ μὴ πλαναθέν-
« τα πρὸς ἔργον ἕκαστον,
« τῶν ἀρειόνων ἐρώ-
« των ἐπικρατεῖν δύνασθαι.

ἀντιστροφὴ α, κῶλ. θ.

οἷοι καὶ Διὸς Αἰγί-
νας τε λέκτρον ποιμένες ἀμφεπόλησαν
Κυπρίας δώρων. ἔβλαστεν δ' υἱὸς
Οἰνώ-
νας, βασιλεὺς χειρὶ καὶ βουλαῖς
ἄριστος.



## DINIAE FIlio Megæ, stadii cursori.

### Ode VIII.

PVlchritudo venerabilis, præco immortalium amorum Veneris, quæ virginalibus puerorúmque insidens palpebris, alium quidem mitibus necessitatis manibus gestas, alium autem aliis. Optabile est autem, non » aberrátem à tempore op- » portuno ad opus quodli- » bet, præstantioribus amo- » ribus potiri posse. » *quales *fuerunt ij qui* circa Iouis, Æginæque cubile versati sunt, custodes donorum Veneris. Germen autem emersit filius OEnonæ, rex manu & consiliis præstantissimus.

πολλά νιν πολλοὶ λιτάνευον ἰδεῖν·
ἀβοατὶ γὰρ ἡρώων ἄωτοι
περιναιεταόντων
ἤθελον κείνου γε πεί-
θεσθ' αἲ ἀξίαις ἑκόντες.

ἐπῳ. κῶ. ια.

οἵ τε κρανααῖς ἐν Ἀθά-
ναισιν ἅρμιζον στρατόν,
οἵ τ' ἀνὰ Σπάρταν Πελοπηΐδαι.
ἱκέτας Αἰακοῦ σεμνῶν γονυά-
των, πόλεός θ' ὑπὲρ φίλας,
ἀστῶν θ', ὑπὲρ τῶν δ' ἅπτομαι, φέρων
Λυδίαν μίτραν καναχηδὰ πεποι-
κιλμέναν, Δείνιδος δισσῶν σταδίων,
καὶ πατρὸς Μέγα Νέμειον ἄγαλμα.
« σὺν θεῷ γάρ τοι φυτευθεὶς
« ὄλβος ἀνθρώποισι παρμονώτερος.

στροφ. β. κῶλ. θ.

ὅσπερ καὶ Κινύραν ἔ-
βρισε πλούτῳ ποντίᾳ ἔν ποτε Κύπρῳ.
ἵσταμαι δὴ ποσσὶ κούφοις ἀμπνέων
πρίν τι φάμεν. πολλὰ γὰρ πολλᾶ
λέλε-
κται· νεαρὰ δ' ἐξευρόντα δόμεναι



Multum eum multi orabant videre. Sine pugna enim flores heroum circumhabitantium volebant illius parere dignitatibus voluntarii.* & qui asperis in Athenis ordinabant exercitum, & qui per Spartam Pelopidæ. Supplex tãgo Æaci veneranda genua, & chara pro vrbe & pro ciuibus his, afferens Lydiam mitram vario strepitu resonantem, ornamemtum Nemeum duplicium stadiorum Diniæ & patris Megæ. Nam à Deo satæ diuitiæ hominibus, durabiliores: » » » * qui & Cinyram onerauit opibus quondam marina in Cypro. Consisto pedibus celeribus respirans priusquam aliquid dicam. multa enim multa dicta sunt: noua autem comminiscentem dare

« βασάνῳ ἐς ἔλεγχον, ἅπας κίνδυ-
« νος. ὄψον δὲ λόγοι φθονεροῖς·
« ἅπτεται δ᾽ ἐσλῶν αἰεί,
« χειρόνεσσι δ᾽ οὐκ ἐρίζει.

ἀντιστρ. κῶλ. θ.

κεῖνος καὶ Τελαμῶνος
δάψεν υἱὸν, φασγάνῳ ἀμφικυλίσαις.
ἦ τιν᾽ ἄγλωσσον μὲν, ἦτορ δ᾽ ἄλκιμον,
λάθα κατέχει λυγρῷ νείκει, μέγιστον
δ᾽ αἰόλῳ ψεύδει γέρας ἀντέταται·
κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσσῆ
Δαναοὶ θεράπευσαν·
χρυσέων δ᾽ Αἴας στερη-
θεὶς ὅπλων, φόνῳ πάλαισεν.

ἐπῳ. κῶλ. ια.

ἦ μὰν ἀνόμοιά γε δάι-
οισιν ἐν θερμῷ χροῒ
ἕλκεα ῥῆξαν πελεμιζόμενοι,
ὑπ᾽ ἀλεξιμβρότῳ λόγχᾳ, τὰ μὲν,
ἀμφ᾽ Ἀχιλλεῖ νεοκτόνῳ,
ἄλλων τε μόχθων πολυφθόροισιν ἐν
« ἁμέραις. ἐχθρὰ δ᾽ ἄρα πάρφα-
« σις ἦν
« καὶ πάλαι, αἱμύλων μύθων ὁμόφοι-



examini vt explorentur, totum »
periculum. Obsonium autem »
inuidis *sunt* sermones. Attingit »
verò probos semper *inuidia*, & »
cum deterioribus non conten- »
dit. * Ille & Telamonis perdi- »
dit filium, prouoluens circum gladium. Certè aliquis lingua quidem non valens, sed corde strenuus obliuioni datur in tristi rixa: at maximus versuto mendacio honor circumiectus est. Clandestinis enim in suffragiis Danai in Vlyssem sua studia contulerunt: at Aiax aureis priuatus armis, cum cæde luctatus est.

* Atqui profectò dissimilibus vulneribus calidum corpus (dum cum hostibus præliarentur) disruptum habuerunt à lancea propulsatrice mortaliũ, & *quum dimicarent* circum Achillem recens interfectum, & aliis in diebus multorum laborum, magnam perniciem *afferentibus*. Sed nimirum inuisa »
versutiloquentia olim quoque »
erat, blandorum verborũ co- »



Universidad de Deusto Biblioteca

Universidad de Deusto Biblioteca



« πος, δολοφραδὴς, κακοποιὸν ὄνειδος·
« ἃ τὸ μὲν λαμπρὸν βιᾶται,
« τῶν δ' ἀμφάντων κῦδος ἀντείνει σα-
« θρόν.

στροφ. γ. κῶλ. θ.

« εἴη μήποτέ μοι τι-
« οῦτον ἦθος Ζεῦ πάτερ' ἀλλὰ κελεύθοις
« ἁπλόαις ζωᾶς ἐφαπτοίμαν, θανὼν ὡς
« παισὶ κλέος, μὴ τὸ δύσφαμον
« προσάψω.
« χρυσὸν εὔχονται, πεδίον δ' ἕτεροι
« ἀπέραντον· ἐγὼ δ' ἀστοῖς ἁδὼν καὶ
« χθονὶ γυῖα καλύψαι-
« μ', αἰνέων αἰνητὰ, μομ-
« φὰν δ' ἐπισπείρων ἀλιτροῖς.

ἀντιστρ. κῶλ. θ.

« αὔξεται δ' ἀρετὰ, χλω-
« ραῖς ἐέρσαις ὡς ὅτε δένδρον αἴσ-
« σει, σοφοῖς ἀνδρῶν ἀερθεῖσ' ἐν δι-
« καίοις
« τε, πρὸς ὑγρὸν αἰθέρα. χρεῖαι δὲ
« παντοῖ-
« αι φίλων ἀνδρῶν. τὰ μὲν ἀμφὶ πό-
« νοις,



mes, doli cogitatrix, ma- »
leficum opprobriū, quæ »
id quidem quod splendi- »
dum est deprimit violen- »
ter, at obscurorum glo- »
riam extollit marcidam. »
* Sint nunquam mihi ta- »
les mores Iupiter pater, »
sed viis simplicibus vitæ »
insistam, vt mortuis libe- »
ris decus, non ignominiā »
afferam. *Alij* aurum o- »
ptant, campum alii im- »
mensum: at ego ciuibus »
placens etiā terra mem- »
bra operiam, laudans lau- »
danda, vituperiúmque in- »
spergens improbis. »
* Crescit autem virtus ex- »
altata per iustos ritus & »
sapientes virorum sicut »
quum arbor per viridifi- »
cantes rores surgit ad li- »
quidum æthera. Com- »
moditates autem variæ »
ex amicis viris. ea qui- »
dem quæ circa labores »
*versantur*, sunt »

« ὑπερώτατον· μαστεύει δὲ καὶ πέρ-
« ψις ἐν ὄμμασι θέσθαι
« πίστιν. ὦ Μέγα, τὸ δ' αὖ-
τις τεὰν ψυχὰν κομίξαι
ἐπῳδ. κῶλ. ια.
« οὔ μοι δυνατόν· (κενεᾶν
« δ' ἐλπίδων χαῦνον τέλος)
σεῦ δὲ πάτρᾳ Χαριάδαις τε λάβρον
ὑπερεῖσαι λίθον Μοισαῖον, ἕ-
κατι ποδῶν εὐωνύμων
δὶς δὴ δυοῖν. χαίρω δὲ πρόσφορον
« ἐν μὲν ἔργῳ κόμπον ἱείς. ἐπ' ἀοι-
« δαῖς δ' ἀνὴρ νώδυνον καί τις κά-
« ματον
« θῆκεν. ἦν γε μὰν ἐπικώμιος ὕμνος
δὴ πάλαι, καὶ πρὶν γενέσθαι
τὰν Ἀδράστου τάν τε Καδμείων ἔριν.



suprema: sed quærit etiã ob- «
lectatio ante oculos *suos* «
ponere *quod faciat* fidem *a-* «
*micitia*. Sed tuam, ô Mega, a- «
nimam reducere * non mihi
*est* possibile: (vanæ autẽ spes «
habẽt exitus futiles) at *possi-* «
*bile est* tuæ tribui Chariadísque supponere pro fulcimine ingentem lapidem Musæum, propter pedes tuos binos bis *in cursu* decus adeptos. Gaudeo autem accommodam operi iactantiam iniiciens. Per carmina autem la- «
borem effic it aliquis *esse* ex- «
pertem doloris. Ac certè e- «
rat chorealis hymnus iam olim, & priusquam extitisset Adrasti & Cadmeorum contentio.

Universidad de Deusto Biblioteca

# ΧΡΟΜΙΩι ΑΙτναίῳ, ἅρματι.

## Εἶδος Θ.

δυωδεκὰς α.

Κωμάσομεν παρ' Ἀπόλλωνος Σικυωνόθε μοῖσαι
τὰν νεοκτίσταν εἰς Αἴτναν.
ἔνθ' ἀναπεπταμέναι
ξείνων νενίκανται θύραι,
ὄλβιον ἐς Χρομίου
δῶμ'. ἀλλ' ἐπέων γλυκὺν ὕμνον
πράσσετε.
τὸ κρατήσιππον γὰρ ἐς ἅρμ' ἀναβαίνων,
ματέρι καὶ διδύμοις
παίδεσσιν αὐδὰν μανύει,
Πυθῶνος αἰπεινᾶς ὁμοκλάροις ἐπόπταις.

δυωδεκὰς β.

« ἔστι δέ τις λόγος ἀνθρώ-
« πων, τετελεσμένον ἐσλὸν
« μὴ χαμαὶ σιγᾷ καλύψαι



# CROMIO AEtnæo, *victoriam adepto* curru.

## Ode XI.

Hymnum chorealẽ *allatum* ab Apolline, ex Sicyone ô Musæ decantabimus apud Ætnam nuper instauratã, apud beatam Chromii domum, vbi reseratę fores victæ sunt *multitudine* hospitum. Carminum igitur dulcem hymnum perficite. nam in currum equis victoriosis iunctum conscendens, matri & geminis filiis Pythonis altæ consortibus præsidibus cantum denuntiat. *Extat "
autem quoddam dictũ "
hominũ, peractũ egre- "
gium *facinus* non *opor*- "
*tere* humi silentio tegere. "

« θεσπεσία δ' ἐπέων
« καύχας ἀοιδὰ πρόσφορος.
ἀλλ' ἀνὰ μὲν βρομίαν [σωμεν
φόρμιγγ', ἀνὰ δ' αὐλὸν ἐπ' αὐτὰν ὄρ-
ἱππείων ἀέθλων κορυφὰν, ἅ, τε Φοίβῳ
θῆκεν Ἄδραστος ἐπ' Ἀ-
σωποῦ ῥεέθροις· ὧν ἐγὼ
μνασθεὶς, ἐπασκήσω κλυταῖς
ἥρωα τιμαῖς.

δυωδεκὰς γ.

ὃς τότε μὲν βασιλεύων
κεῖθι, νέαισί θ' ἑορταῖς,
ἰσχύος τ' ἀνδρῶν ἁμίλλαις,
ἅρμασί τε γλαφυροῖς
ἄμφαινε κυδαίνων πόλιν·
φεῦγε γὰρ Ἀμφιάρη-
όν τε θρασυμήδεα, καὶ δεινὰν στάσιν
πατρώων οἴκων, ἀπό τ' Ἄργεος. ἀρχοὶ
δ' οὐκ ἔτ' ἔσαν Ταλαοῦ
παῖδες, βιασθέντες λύᾳ·
κρέσσων δὲ καππαύει δίκαν
τὰν πρόσθεν ἀνήρ,

δυωδεκὰς δ.

ἀνδροδάμαντ' Ἐριφύ-



diuinus autem carminum »
cantus gloriationi accom- »
modus. Quare & Bacchicam citharam & tibiam impellamus: ad ipsum equestrium certaminum cacumen, quæ Phœbo instituit Adrastus in Asopi fluētis. quorum ego mentionē quum fecero, exornabo illustribus heroëm honoribus. * Qui tum quidem regnans ibi, nouísque festis virorúmque certaminibus de robore curribúsque elegantibus, in notitiam adducebat vrbem, *eam* decorans. Fugiebat enim Amphiaraum audacē consilio, & grauem seditionē paternarū ædium, & ab Argis. ductores autem nondum erant Talai filii, lue *hac* violenter oppressi. Potentior autem vir sedat litem priorem, * quando Eriphylam mariti domitricem

Universidad de Deusto Biblioteca



ὅρκιον ὡς ὅτε πιστὸν
δόντες Οἰκλείδᾳ γυναῖκα,
ξανθοκομᾶν Δαναῶν
ἦσαν μέγιστοι· καί ποτ᾽ ἐς
ἑπταπύλους Θήβας
ἄγαγον ἀνδρῶν στρατὸν, αἰσιᾶν οὐ
κατ᾽ ὀρνίχων ὁδόν. οὐδὲ Κρονίων
ἀστεροπὰν ἐλελί-
ξαις, οἴκοθεν μαργουμένοις
στείχειν ἐπώτρυν᾽, ἀλλὰ φεί-
σασθαι κελεύθου.

δυωδεκὰς ε.

φαινομέναν δ᾽ ἄρ᾽ ἐς ἄταν
σπεῦδεν ὅμιλος ἱκέσθαι,
χαλκέοις ὅπλοισιν, ἱππεί-
οις τε σὺν ἔντεσιν. Ἰ-
σμηνοῦ δ᾽ ἐπ᾽ ὄχθαισι, γλυκὺν
νόστον ἐρυσάμενοι,
λευκανθέα σώμασ᾽ ἐπίαναν καπνόν.
ἑπτὰ γὰρ δαίσαντο πυραὶ νεογυίους
φῶτας. ὁ δ᾽ Ἀμφιάρῃ
σχίσεν κεραυνῷ παμβίᾳ
Ζεὺς τὰν βαθύστερνον χθόνα·
κρύψεν δ᾽ ἅμ᾽ ἵπποις,



vbi donassent Oiclidæ vxorem, velut fœderis pignus fidele, flauicomorum Danaorum extiterunt maximi. & quōdam ad Thebas septenis portis clausas duxerunt virorum exercitum, non per faustarum viam auium, neque Saturnius fulgur quatiens ex ædibus furioso impetu concitatos abire hortatus est, imò abstinere à profectione. *sed apertum in exitiū properabat exercitus venire, æreis cum armis & equestri apparatu. Itaque ad Ismeni ripas dulcem reditum quum inhibuissent, corporibus pinguefecerūt fumum ex quo candor efflorescebat. septem enim vorarunt pyræ iuuenilimembres viros. At Amphiarao diffidit Iupiter fulmine aduersus omnia violento pectorosam terram, occultauitque illum cum equis,

δωδεκὰς ϛ.

δουρὶ Περικλυμένου πρὶν
νῶτα τυπέντα μαχατὰν
« θυμὸν αἰσχυνθήμεν. ἐν γὰρ
« δαιμονίοισι φόβοις
« φεύγοντι καὶ παῖδες θεῶν.
εἰ δυνατὸν, Κρονίων
πεῖραν μὲν ἀγάνορα φοινικοστόλων
ἐγχέων ταύταν θανάτου πέρι καὶ ζω-
ᾶς ἀναβάλλομαι ὡς
πόρσιστα· μοῖραν δ' εὔνομον
αἰτέω σε παισὶν δαρὸν Αἰ-
τναίων ὀπάζειν,

δωδεκὰς ζ.

Ζεῦ πάτερ, ἀγλαΐαισι
δ' ἀστονόμοις ἐπιμίξαι
λαόν. ἐντί τοι φίλιπποί
τ' αὐτόθι, καὶ κτεάνων
ψυχὰς ἔχοντες κρέσσονας
ἄνδρες. ἄπιστον ἔει-
« π'. αἰδὼς γὰρ ὑπόκρυφα κέρδει κλέ-
« πτεται,
« ἃ φέρει δόξαν. Χρομίῳ κεν ὑπασπί-
ζων παρὰ πεζοβόαις,

Universidad de Deusto Biblioteca



* priusquam hasta Periclymeni percussus terga, pugnacem animum pudefieret. Etenim in diuinitus »
immissis terroribus fugiũt »
etiam filii deorum. Si pos- »
sibile *est* ô Saturnie, molimen hoc superbum hastarum ornatarum more Phœnicio *quod est* de morte & vita, reiicio quàmlongissimè, sortémque *talem* quæ habeat bonam legum constitutionẽ oro te vt Ætnæorum pueris diu præbeas *Iupiter pater, ac ciuilibus ornamentis adhibeas populum. sunt certè in eo & equorũ studiosi, & possessionibus animos habẽtes præstantiores viri. Rem incredibilem dixi. vere cundiam »
enim quæ gloriam affert, la- »
tenter lucrum suffuratur. »
sub Cromio armiger existens inter pedites,

ἵπποις τε, ναῶν τ' ἐν μάχαις,
ἔκρινας ἂν κίνδυνον ὀ-
ξείας ἀυτᾶς.

δυωδεκὰς η.

οὕνεκεν ἐν πολέμῳ κεί-
να θεὸς ἔντυεν αὐτοῦ
θυμὸν αἰχματὰν, ἀμύνειν
λοιγὸν Ἐνυαλίου.
« παῦροι δὲ βουλεῦσαι φόνου
« παρποδίου νεφέλαν
« τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν στίχας,
« χερσὶ καὶ ψυχᾷ δυνατοί. λέγεται μὰν
Ἕκτορι μὲν κλέος ἀν-
θῆσαι Σκαμάνδρου χεύμασιν
ἀγχοῦ· βαθυκρήμνοισι δ' ἀμ-
φ' ἀκταῖς Ἑλώρου,

δυωδεκὰς θ.

(ἔνθ' Ἀρείας πόρον ἄνθρω-
ποι καλέοισι) δέδορκε
παιδὶ τοῦτ' Ἀγησιδάμου
φέγγος ἐν ἁλικίᾳ
πρώτᾳ, τὰ δ' ἄλλαις ἁμέραις
πολλὰ μὲν ἐν κονίᾳ
χέρσῳ, τὰ δὲ γείτονι πόντῳ, φάσομαι.



& equos, nauiúmque
pugnas, iudicasses *quā-*
*ta sit* alea velocis præ-
lii. quoniam in bello
dea illa incitabat eius
animum bellicosum
ad propulsandū Mar-
tis exitium. Pauci au- »
tem consultando que- »
unt cædis ante pedes »
existentis nubem con- »
uertere in hostium vi- »
rorum agmina, mani- »
bus & animo: Dicitur »
quidem Hectori decus
floruisse prope Sca-
mandri fluenta: at cir-
cum ripas Helori præ-
cipitia profunda ha-
bentes * ( vbi Areæ
traiectum homines vo
cant ) refulget filio A-
gesidami hoc lumen in
ætate prima. In aliis
autem diebus comme-
morabo multa *eius e-*
*gregia facinora*, edita
in puluerulenta terra
& in vicino mari.

Universidad de Deusto Biblioteca

« ἐκ πόνων δ' οἳ σὺν νεότατι γένωνται,
« σύν τε δίκᾳ, τελέθει
« πρὸς γῆρας αἰὼν ἁμέρα.
« ἴστω λαχὼν πρὸς δαιμόνων
« θαυμαστὸν ὄλβον.

δυωδεκὰς ι.

« εἰ γὰρ ἅμα κτεάνοις πολ-
« λοῖς ἐπίδοξον ἄρηται
« κῦδος, οὐκ ἔτ' ἐστὶ πόρσω
« θνατὸν ἔτι σκοπιᾶς
« ἄλλας ἐφάψασθαι ποδοῖν.
« ἡσυχίαν δὲ φιλεῖ
« μὲν συμπόσιον, νεοθαλὴς δ' αὔξεται
« μαλθακᾷ νικαφορία σὺν ἀοιδᾷ.
« θαρσαλέα δὲ παρὰ
« κρατῆρα φωνὰ γίνεται.
ἐγκιρνάτω τις μὶν, γλυκὺν
κώμου προφάταν.

δυωδεκὰς ια.

ἀργυρέαισι δὲ νωμά-
τω φιάλαισι βιατὰν
ἀμπέλου παῖδ' ἅς ποθ' ἵπποι
κτησάμεναι Χρομίῳ,
πέμψαν θεμιπλέκτοις ἀμφὶ



Ex laboribus autem qui »
cum iuuentute fuerint & »
cum æquitate, exiſtit ad »
ſenectutem tempus vitæ »
placidum. ſciat ſe nactum »
à diis admirandam felici- »
tatem. »
* Si enim cum opibus »
multis illuſtre adeptus »
ſit decus, non licet vl- »
terius mortali amplius »
ſpeculam aliam attingere »
pedibus. Tranquillitatẽ »
autem amat quidem con- »
uiuium, & recenter flo- »
rẽs victoria augetur mol- »
li cum cantu. audax au- »
tem apud craterem eſt »
vox. Temperet aliquis »
eum, dulcem chorealis
hymni vaticinatorem,
*argenteiſque phialis cir-
cum agat violentum fi-
lium vitis, quas equæ ac-
quiſierunt Chromio, &
miſerunt ex ſacra Si-
cyone,

Λαπείδα στεφάνοις
ἐκ τᾶς ἱερᾶς Σικυῶνος. Ζεῦ πάτερ,
εὔχομαι ταύταν ἀρετὰν κελαδῆσαι
σὺν Χαρίτεσσιν, ὑπὲρ
πολλῶν τε τιμαλφεῖν λόγοις
νίκαν, ἀκοντίζων σκοποῦ
ἄγχιστα μοισᾶν.

# ΘΕΙΑΙΩι ΠΑΙΔΙ

## Οὐλίου, παλαιστῇ.

## Εἶδος Ι.

στροφὴ α. κώλ. ια.

ΔΑναοῦ πόλιν ἀγλαο-
θρόνων τε πεντήκοντα κορᾶν
χάριτες
Ἄργος Ἥρας δῶμα θεοπρεπὲς ὑ-
μνεῖτε. φλέγεται δ᾽ ἀρεταῖς
μυρίαις ἔργων θρασέων ἕνεκεν.
μακρὰ μὲν τὰ Περσέως ἀμ-
φὶ Μεδοίσας Γοργόνος,
πολλὰ δ᾽ Αἰγύπτῳ κατῴκισθεν ἄστη
ταῖς Ἐπάφου παλάμαις.



cum Latoidæ coronis à Themide textis. Iupiter pater, opto hanc virtutem resonare cum Charitibus, & victoriam *hanc* supra multas *alias* pretiosam reddere per carmina, iaculans proximè ad scopum Musarum.

# THIAEO FILIO

## Vliæ, palæstritæ.

## Ode x.

DAnai vrbem & pulchris soliis insidentium filiarum quinquaginta Argos, Iunonis domicilium, diuinam *maiestatem* decens, celebrate Charites. refulget autem virtutibus infinitis, propter facinora audacia. Longa sunt relatu *gesta* Persei circa Medusam Gorgonem, & multa in Ægypto condita fuerunt oppida Epaphi manibus.



Universidad de Deusto Biblioteca

οὐδ᾽ Ὑπερμνήστρα παρεπλάγχθη, μονό-
ψαφον ἐν κολεῷ κατασχοῖσα ξίφος.

ἀντιστρ. κῶλ. ια.

Διομήδεα δ᾽ ἄμβροτον
ξανθά ποτε γλαυκῶπις ἔθηκε θεόν.
γαῖα δ᾽ ἐν Θήβαις ὑπέδεκτο κεραυ-
νωθεῖσα Διὸς βέλεσι
μάντιν Οἰκλείδαν, πολέμοιο νέφος.
καὶ γυναιξὶ καλλικόμοι-
σιν ἀριστεύει. πάλαι
Ζεὺς ἐπ᾽ Ἀλκμήναν Δανάαν τε μο-
τὸν κατέφανε λόγον. [λὼν
πατρί τ᾽ Ἀδράστοιο, Λυγκεῖ τε φρενῶν
καρπὸν εὐθείᾳ συνάρμοξεν δίκᾳ.

ἐπῳ. κῶλ. ιβ.

θρέψε δ᾽ αἰχμὰν Ἀμφιτρύ-
ωνος. ὁ δ᾽ ὄλβῳ φέρτατος
ἵκετ᾽ ἐς κείνου γενεάν.
ἐπεὶ καὶ ἐν χαλκέοις ὅπλοις
Τηλεβόας ἔναρεν. οἱ
ὄψιν εἰδόμενος
ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθε,
σπέρμ᾽ ἀδείμαντον φέρων
Ἡρακλέος, οὗ κατ᾽ Ὄλυμπον



neque Hypermnestra aberrauit, gladium aliis non suffragantem in vagina quum retinuit. *Diomedem autem immortalem flaua quondam *dea* cæsia fecit deum. Terra verò apud Thebas recepit, fulminata Iouis telis, vatem Oiclidē belli nubem. Quinetiam fœminis pulchricomis alias antecellit *Vrbes*. olim Iupiter ad Alcmenen Danaénque profectus hanc famam palàm fecit. Patri etiam Adrasti Lynceóque mentis fructum *cum* recta adaptauit iustitia. *Promouit prætere bellum Amphitruonis. atque ipse felicitate præstantissimus venit in illius stirpem. *nam* quum ille æreis armis Teleboas interfecisset, ei vultum assimilatus immortalium rex, aulam ingressus est, semen intrepidum afferens Herculis, cuius in cælo

Universidad de Deusto Biblioteca

ἄλοχος Ἥβα τελεία
πὰρ ματέρι βαίνοι-
σ' ἐστὶ, καλλίστα θεῶν.

στρο. β. κῶλ. ια.

βραχύ μοι στόμα πάντ' ἀνα-
γήσασθ' ὅσων ἀργεῖον ἔχει τέμενος
μοῖραν ἐσλῶν. ἔστι δὲ καὶ κόρος ἀν-
θρώπων βαρὺς ἀντιάσαι.
ἀλλ' ὅμως εὔχορδον ἔγειρε λύραν,
καὶ παλαισμάτων λάβε φρον-
τίδ'. ἀγών τοι χάλκεος
δᾶμον ὀτρύνει ποτὶ θυσίαν Η-
ρας, ἀέθλων τε κρίσιν,
Οὐλία παῖς ἔνθα νικάσαις δὶς, ἔ-
σχεν Θειαῖος εὐφόρων λάθαν πόνων,

ἀντιστρ. κῶλ. ια.

ἐκράτησε δὲ καί ποθ' Ἑλ-
λανα στρατὸν Πυθῶνι τύχᾳ τε μολὼν
καὶ τὸν Ἰσθμοῖ καὶ Νεμέᾳ στέφανον,
μοίσαισί τ' ἔδωκ' ἀρόσαι·
τρεὶς μὲν ἐν πόντιο πύλαισι λαχών,
τρεὶς δὲ καὶ σεμνοῖς δαπέδοις
ἐν Ἀδραστείῳ νόμῳ.
Ζεῦ πάτερ, τῶν μὲν ἔραται φρενὶ, σιγᾷ



Vxor Hebe apud matrem *Iunonem* perfectricem incedit, pulcherrima dearum. * Arctum mihi os ad recensendum omnia dêcora, quæ feliciter sortitum est Argiuum delubrum. prætereáque satietas hominum grauis occursu. Sed tamẽ chordis bene instructam excita lyram, & luctarũ curam suscipe. Certamẽ æneũ hortatur populum ad sacrificium Iunonis & ad præmiorum iudicium, vbi Vliæ filius Thiæus victoriam adeptus bis, consequutus est obliuionem laborum non grauium portatu. * Emeruit autem sua victoria, quum ad Græcorum concilium fortunatè venisset, & Pythiacam & Isthmiacam & Nemeacam coronam, Musísque dedit excolendam: terquidem apud marinas portas, quum ei sors obtigisset, ter verò & apud venerabile solum in Adrasti ditione. Iupiter pater, ea quæ optat corde, reticet

Universidad de Deusto
Biblioteca



οἱ στόμα· πᾶν δὲ τέλος
ἐν τὶν ἔργων· οὐδ' ἀμόχθῳ καρδίᾳ
προσφέρων τόλμαν παραιτεῖται χά- [ριν.

ἐπῳ. κῶλ. ιβ.

γνώτ' ἀείδω θεῷ τε
χὤστις ἁμιλλᾶται περὶ
ἐσχάτων ἀέθλων κορυφαῖς.
ὕπατον δ' ἔσχεν Πίσα
Ἡρακλέος τεθμόν· ἁδεῖ-
αί γε μὲν ἀμβολάδαν
ἐν τελεταῖς δὶς Ἀθαναίων νιν ὀμφαὶ
κώμασαν. γαίᾳ δὲ καυ-
θείσᾳ πυρὶ, καρπὸς ἐλαίας
ἔμολεν Ἥρας τὸν εὐά-
νορα λαὸν ἐν ἀγγέων
ἕρκεσιν παμποικίλοις.

στρο. γ. κῶλ. ια.

ἕπεται δὲ Θειαῖε μα-
τρώων πολύγνωτον γένος ὑμετέρων
εὐάγων τιμὰ Χαρίτεσσί τε καὶ
Τυνδαρίδαις θαμάκις.
ἀξιωθείην κεν, ἐὼν Θρασύκλου
Ἀντία τε σύγγονος, Ἀρ-
γεϊ μὴ κρύπτειν φάος



illi os: ſed omnium operum ſucceſſus penes te *eſt*: nec corde alieno à laboribus audaciam affert ad petitionem beneficii.

* Nota cano deóque & *illi* quiſquis certat de ſupremorum præmiorum cacuminibus. Summum autem nacta eſt Piſa Herculis ritum, & ſuaues Athenienſium voces in ritibus ſacris hymnos choreales ei decantarunt bis interiecto certo temporis ſpatio. Venit igitur fructus oleæ *incluſus* terræ igni coctæ, ad Iunonis populum viris illuſtrem, inter vaſorum clauſtra multum variegata.

* Sequitur autem, Thiæ, ſtirpem celeberrimam veſtrorum progenitorum maternorum honor ob certamina bene certata cum Charitibus & Tyndaridis frequenter. Dignus certè habear, quum Thraſycli & Antiæ cognatus ſim, qui Argis non occultem lumen

ὀμμάτων. νικαφορίαις γὰρ ὅσαις ἱπ-
ποτρόφον ἄστυ τὸ Προί-
τοιο θάλησεν· Κορίνθου τ' ἐν μυχοῖς,
καὶ Κλεωναίων πρὸς ἀνδρῶν τετράκις.

ἀντιστρ. κῶ. ια.

Σικυωνόθεν δ' ἀργυρω-
θέντες σὺν οἰνηραῖς φιάλαις ἐπέβαν.
ἐκ δὲ Πελλαίας, ἐπιεσσάμενοι
νῶτον μαλακαῖσι κρόκαις.
ἀλλὰ χαλκὸν μυρίον οὐ δυνατὸν
ἐξελέγχειν· μακροτέρας
γὰρ ἀριθμῆσαι σχολᾶς,
ὅν τε Κλείτωρ, καὶ Τεγέα, καὶ Ἀχαιῶν
ὑψίβατοι πόλιες,
καὶ Λύκαιον πὰρ Διὸς θῆκε δρόμῳ
σὺν ποδῶν τε χερῶν τε νικᾶσαι σθένει.

ἐπῳδ. κῶλ. ιβ.

Κάστορος δ' ἐλθόντος ἐπὶ
ξενίαν παρὰ Παμφάη,
καὶ κασιγνήτου Πολυδεύ-
κεος, οὐ θαῦμα σφίσιν
ἐγγενὲς ἔμμεν ἀεθλη-
ταῖς ἀγαθοῖσιν, ἐπεὶ
εὐρυχόρου ταμίαι Σπάρτας ἀγώνων



oculorum. quot enim victoriis floruit vrbs Prœti altrix equorum! & Corinthi in recessibus & Cleonæos apud viros quater.

*E Sicyone autem argento donati cũ vinariis phialis processerunt: ex Pellene autem induti tergum mollibus filis. At infinitum æs non possibile *est* examinare. maioris enim est otii *ipsum* enumerare, quod Clitor & Tegea, & Achæorum altæ vrbes, & Lycæum apposuerit curriculo Iouis ad vincendum cum pedum & manuum robore.

*Sed quum Castor & frater Pollux venerint ad hospitandum apud Pamphaem, non mirum si insitum habeant à natura vt sint athletę boni. quoniam pręsides Spartæ spatiosæ,

μοῖραι Ἑρμᾷ καὶ σὺν Ἡ-
ρακλεῖ διέποντι θάλειαν,
μάλα μὲν ἀνδρῶν δικαίων
περικαδόμενοι, καὶ
μὰν θεῶν πιστὸν γένος.

στροφ. δ. κῶλ. ια.

μεταμειβόμενοι δ' ἐναλ-
λὰξ ἁμέραν τὰν μὲν παρὰ πατρὶ φίλῳ
Διὶ νέμονται, τὰν δ' ὑπὸ κεύθεσι γαί-
ας, ἐν γυάλοις Θεράπνας,
πότμον ἀμπιπλάντες ὁμοῖον. ἐπεὶ
τοῦτον, ἢ πάμπαν θεὸς ἔμ-
μεναι, οἰκεῖν τ' οὐρανῷ,
εἵλετ' αἰῶνα φθιμένου Πολυδεύκης
Κάστορος ἐν πολέμῳ·
τὸν γὰρ Ἴδας, ἀμφὶ βουσίν πως χολω-
θεὶς, ἔτρωσεν χαλκέας λόγχας αἰχμᾷ.

ἀντιστρ. κῶλ. ια.

ἀπὸ Ταϋγέτου πταυ-
γάζων ἴδεν Λυγκεὺς δρυὸς ἐν στελέχει
ἥμενον· κείνου γὰρ ἐπιχθονίων
πάντων γένετ' ὀξύτατον
ὄμμα. λαιψηροῖς δὲ πόδεσσιν ἄφαρ
ἐξικέσθαν, καὶ μέγα ἔρ-



ſortem florentem certaminum cũ Mercurio & Hercule gubernant, valdè quidem virorum iuſtorum curam gerentes, & *exiſtentes* deorum fida propago.

* Alternantes autem viciſſim, vno quidem die apud Iouem patrem charum degunt, vno autem ſub latebris terræ, in concauitatibus Therapnæ ſorte vtentes ſimili: quoniam Pollux hanc *conditionem* vitæ potiorem habuit quam prorſus deus eſſe, cælúmque incolere, Caſtore interfecto in bello. hunc ſi quidem Idas propter boues iratus vulnerauit æreo lanceæ cuſpide. *A Taygeto *enim* conſpicans Lynceus vidit querno trunco inſidentem. illius enim fuit oculus acutiſſimus ſupra omnes homines. velocibus autem pedibus ſtatim acceſſerunt, & ad ingens faci-

Universidad de Deusto Biblioteca

ξου ἐμνήσαντ' ὠκέως,
καὶ ἔπαθον δεινὸν παλάμαις Ἀφαρητί-
δαι Διός. αὐτίκα γὰρ
ἦλθε Λήδας παῖς διώκων· τοὶ δ' ἐναν-
τία στάθεν τύμβῳ σχεδὸν πατρῴῳ.

ἐπῳδ. κῶλ. ιβ.

ἔνθεν ἁρπάξαντες ἄγαλ-
μ' Ἀΐδα, ξεστὸν πέτρον,
ἔμβαλον στέρνῳ Πολυδεύ-
κεος· ἀλλ' οὔ νιν φλάσαν,
οὐδ' ἀνέχασσαν. ἐφορμα-
θεὶς δ' ἄρ' ἄκοντι θοῷ
ἤλασε Λυγκέος ἐν πλευραῖσι χαλκόν.
Ζεὺς δ' ἐπ' Ἴδᾳ πυρφόρον
πλᾶξε ψολόεντα κεραυνόν·
ἁμᾶ δὲ καίοντ' ἔρημοι.
χαλεπὰ δ' ἔρις ἀνθρώ-
ποισιν ὁμιλεῖν κρεσσόνων.

στροφὴ ε. κῶλ. ια.

ταχέως δ' ἐπ' ἀδελφεοῦ
βίαν πάλιν χώρησεν ὁ Τυνδαρείδας·
καί μιν οὔπω τεθναότ', ἄσθματι δὲ
φρίσσοντ' ἀμπνοὰς κίχε.
θερμὰ δὲ τέγγων δάκρυα στοναχαῖς,



nus animum aduerterunt Apharetidæ. & passi sunt grauia, Iouis artibus. Statim enim aduenit Ledæ filius persequens: illi autem ex aduerso constiterunt, sepulchrum prope paternum. * vnde quũ corripuissent statuam Plutonis *confectam* ex polito saxo, proiecerunt in pectus Pollucis: sed eum non colliserunt, neque retrocedere coegerunt: quin potius cum impetu arripiens iaculum velox, adegit æs in Lyncei latera. Iupiter autẽ in Idam fulmen igniferum contorsit fuliginosum: simul autẽ comburuntur deserti. Adeo graue est versari in contentione aduersus potẽtiores » *Statim autem ad strenuum fratrem rursum accessit Tyndarides, & eum nondũ mortuum sed palpitatione rigentes respirationes habentem inuenit. Calidas autem inspergẽs lacrymas gemitibus,

Universidad de Deusto
Biblioteca



ὄρθιον φώνασε, πάτερ
Κρονίων, τίς δὴ λύσις
ἔσσεται πενθέων; καί μοι θάνατον σὺν
τῷδ' ἐπίτειλον ἄναξ.
« οἴχεται τιμὰ φίλων τατωμένῳ
« φωτί· παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν

ἀντιστρ. κῶλ. ια.

« καμάτου μεταλαμβάνειν.
ὣς ἔννεπε. Ζεὺς δ' ἀντίος ἤλυθέ οἱ,
καὶ τόδ' ἐξαύδασ' ἔπος· ἐσσί μοι υἱ-
ός. τόνδε δ' ἔπειτα πόσις
σπέρμα θνατὸν ματρὶ τεᾷ πελάσαις
ἔσταξ' ἥρως. ἀλλ' ἄγε, τῶν-
δέ τοι ἔμπαν αἵρεσιν
παρδίδωμ'. εἰ μὲν θάνατόν τε φυγὼν καὶ
γῆρας ἀπεχθόμενον,
αὐτὸς οὔλυμπον ἐθέλεις
σύν τ' Ἀθαναίᾳ κελαινεγχεῖ τ' Ἄρει,

ἐπῳ. κῶλ. ιβ.

ἔστι σοι μὲν τούτων λάχος·
εἰ δὲ κασιγνήτου πέρι
μάρνασθαι, πάντων δὲ νοεῖς
ἀποδάσασθαι ἴσον,
ἥμισυ μέν κε πνέοις γαί-



altum clamauit, Pater Saturnie; quænam liberatio erit à luctibus? mihi quoque mortem cum hoc immittas. Perit » honor viro qui orbatur a- » micis: paucíque mortalium » in ærumna sunt fideles, » *ita vt sint participes labo- » ris. Sic loquebatur. Iupiter » autem obuius processit ei, & hoc protulit dictum, Es mihi filius: hunc autem postea maritus heros, cum matre tua congressus, semen mortale stillauit. Verùm age, tibi tamen horum optionem do: si quidem mortem effugiens & senectutem odiosam, ipse olympum vis cum Minerua & atram gestante hastam Marte, *adest tibi horum sors: at si pro fratre præliari, & omnium diuidere æqualem portionem in animo habes, dimidium spires sub

αι ὑπένερθεν ἐών,
ἥμισυ δ' ὐρανοῦ ἐν χρυσέοις δόμοισιν.
ὥς ἄρ' αὐδάσαντος, οὐ
γνώμα διπλόαν θέτο βουλάν·
ἀνὰ δ' ἔλυσε μὲν ὀφθαλ-
μὸν, ἔπειτα δὲ φωνὰν
χαλκεομίτρα Κάστορος.

## ΑΡΙΣΤΑΓΟΡΑι, πρυτάνει Τενεδίῳ, υἱῷ Ἀρκεσίλα.

## Εἶδος ΙΑ.

Στροφὴ α, κῶλ. ς.

ΠΑῖ Ῥέας ἅτε πρυτανεῖα λέλογ-
χας Ἑστία,
Ζηνὸς ὑψίστου κασιγνήτα καὶ ὁμοθρό-
νου Ἥρας,
εὖ μὲν ἀρισταγόραν δέξαι τεὸν ἐς
θάλαμον,
εὖ δ' ἑταίροις ἀγλαῷ σκάπτῳ πέλας,
οἵ σε γεραίροντες ὀρ-
θὰν φυλάσσισι Τένεδον,



terra existens, & dimidium in aureis ædibus cæli. Sic loquuto *eo*, sententia duplicem deliberationem non fecit. quare in integrum restituit oculum, postea autem vocem Castoris æream mitram gestantis.

## ARISTAGOræ præsidi Tenedio, filio Arcesilæ.

## Ode XI.

FIlia Rheæ, quæ *sedem* sortita es in prytaneis, Vesta, Iouis altissimi soror & solio eidem insidentis Iunonis, bene Aristagoram excipe tuum in thalamum, bene etiam socios, illustre prope sceptrum: qui te decorantes rectam custodiunt Tenedum,

ἀντιστρ. κῶλ. ϛ.

πολλὰ μὲν λοιβαῖσιν ἀγαζόμενοι πρώ-
ταν θεῶν,
πολλὰ δὲ κνίσᾳ· λύρα δέ σφιν βρέ-
μεται καὶ ἀοιδά,
καὶ ξενίου Διὸς ἀσκεῖται θέμις ἀενάοις
ἐν τραπέζαις. ἀλλὰ σὺν δόξᾳ τέλος
δυωδεκάμηνον περᾶ-
σαι σὺν ἀτρώτῳ καρδίᾳ.

ἐπῳ. κῶλ. θ.

ἄνδρα δ' ἐγὼ μακαρίζω
μὲν πατέρ' Ἀρκεσίλαν,
καὶ τὸ θαητὸν δέμας, ἀτρεμίαν τε σύγ-
« εἰ δέ τις ὄλβον ἔχων [γονον.
« μορφᾷ παραμεύσετ' ἄλλων,
« ἔν τ' ἀέθλοισιν ἀρι-
« στεύων ἐπέδειξεν βίαν,
« θνατὰ μεμνάσθω περιστέλλων μέλη,
« καὶ τελευτὰν ἁπάντων γᾶν ἐπιεσσόμε-

στρο. β. κῶλ. ϛ. [νος.

ἐν λόγοις δ' ἀστῶν ἀγαθοῖσι μιν αἰνεῖ-
σθαι χρεών,
καὶ μελιγδούποισι δαιδαλθέντα μελί-
ζεμεν ἀοιδαῖς.



* sæpe quidem libationibus
venerantes *te* primam dearũ,
sæpe verò nidore. quinetiam
lyra apud eos perstrepit &
cantus, Iouisque hospitalis
ritus iustus obseruatur inde-
ficientibus in mensis. Sed *da*
*illis* transigere gloriosè spa-
tium duodecim mensium,
cum corde non vulnerato
*mærore*. * Ego autem virum
quidem prædico beatum, pa-
trem Arcesilam, etiam pro-
pter admirandum corpus, &
audaciam illi à natura insi-
tam. Sed siquis opes possi- »
dens, forma anteibit alios, & »
in certaminibus primas ob- »
tinens specimen ediderit ro- »
boris, mortalibus memine- »
rit se amictum esse membris, »
& postremam omnium ter- »
ram sibi futuram amiculum. »
* Verùm sermonibus bonis »
ciuium celebrari par est, &
dulcistrepis variata carmi-
nibus modulari.

Universidad de Deusto Biblioteca

ἐκ δὲ περικτιόνων ἑκκαίδεκ' Ἀρι-
σταγόραν
ἀγλααὶ νῖκαι πάτραν τ' εὐώνυμον
ἐστεφάνωσαν πάλᾳ
καὶ μεγαλαύχῳ παγκρατίῳ.
ἀντιστρ. κῶλ. ς.
ἐλπίδες δ' ὀκνηρότεραι γονέων παι-
δὸς βίαν
ἔσχον ἐν Πυθῶνι πειρᾶσθαι καὶ Ὀλυμ-
πίᾳ ἀέθλων.
ναὶ μὰ γὰρ ὅρκον, ἐμὰν δόξαν, παρὰ
Κασταλίᾳ
καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου,
κάλλιον ἂν δηριών-
των ἐνόστησ' ἀντιπάλων,
ἐπῳδ. κῶλ. θ.
πενταετηρίδ' ἑορτὰν
Ἡρακλέος τέθμιον
κωμάσαις, ἀνδησάμενός τε κόμαν πορ-
φυρέοις
« ἔρνεσιν. ἀλλὰ βροτῶν
« τὸν μὲν κενόφρονες αὐχαὶ
« ἐξ ἀγαθῶν ἔβαλον·
« τὸν δ' αὖ, καταμεμφθέντ' ἄγαν



Ex vicinis autem, ſedecim
Ariſtagoram illuſtres vi-
ctoriæ coronarunt, patri-
ámque magni nominis:
*quas adeptus eſt* lucta, at-
que valdè gloriabundo
pancratio. * Spes autem
ſegniores parentum, robur
filii impedierunt quomi-
nus periculum faceret cer-
taminum *quæ ſunt* apud
Pythonem & Olympiam.
Per iuſiurandum enim, *ſe-
cundum* meam ſententiam,
ad Caſtaliam & ad bene
*conſitum* arboribus profe-
ctus collem Saturni, pul-
chrius quàm pugnantes
aduerſarii reuerſus fuiſſet,
hymno choreali proſe-
quutus * quinquennale
feſtum, ritum ab Hercule,
inſtitutum, & redimitus
comam purpureis ramis.
Sed enim mortalium a- »
lium quidem vana cogi- »
tantes gloriationes à præ- »
claris *facinoribus* expellũt, »
alium autẽ contrà animus, »

« ἰσχύν, οἰκείων παρέσφαλεν καλῶν,
« χειρὸς ἕλκων ὀπίσω, θυμὸς ἄτολμος
στροφ. γ. κῶλ. ϛ. [ἐών·
συμβαλεῖν λίαν εὐμαρὲς ἦν τό, τε Πει-
σάνδρου πάλαι
αἷμ' ἀπὸ Σπάρτας, (Ἀμύκλαθεν γὰρ ἔ-
βα σὺν Ὀρέστᾳ,
Αἰολέων στρατιὰν χαλκεντέων δεῦρ'
ἀνάγων)
καὶ παρ' Ἰσμηνοῦ ῥοὰν κεκραμένον,
ἐκ Μελανίπποιο μά-
« τρωος. ἀρχαῖαι δ' ἀρεταὶ
ἀντιστρ. κῶλ. ϛ.
« ἀμφέρονται, ἀλλασσόμεναι γενεαῖς
« ἀνδρῶν σθένος.
« ἐν σχερῷ δ' οὔτ' ὦν μέλαιναι καρπὸν
« ἔδωκαν ἄρουραι,
« δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων
« περιόδοις
« ἄνθος εὐῶδες φέρειν, πλούτῳ ἴσον,
« ἀλλ' ἐν ἀμείβοντι. καὶ
« θνατὸν οὕτω σθένος ἄγει
ἐπῳ. κῶλ. θ.
« μοῖρα. τὸ δ' ἐκ Διὸς ἀνθρώ-



inaudax existens, manu »
trahens retrò à propriis »
*factis* honestis aberrare »
facit, conquestum nimiũ »
de viribus. Perspicere »
certis indiciis facile erat
Pisandri vetustum san-
guinem, ex Sparta (ab A-
myclis enim profectus
est cum Oreste exerci-
tum Æolum ære arma-
torum huc ducens) & ex
Melanippo materno auo
mixtum, ad Ismeni fluen-
ta. Antiquæ autem virtu- »
tes, recuperant robur quę »
permutantur hominum »
seculis. Sedenim nec ni- »
gra arua fructum dant »
continua serie, nec arbo- »
res volunt omnibus an- »
norum recursibus florem »
odoratum ferre, diuitiis »
parem: sed alternis eo- »
dem pacto & mortale ro- »
bur * regit fatum. à Ioue »
autem homines »

“ ποις σαφὲς οὐχ ἕπεται
“ τέκμαρ, ἀλλ' ἔμπαν μεγαλανορίαις
“ ἐμβαίνομεν,
“ ἔργα τε πολλὰ μενοι-
“ νῶντες. δέδεται γὰρ ἀναιδεῖ
“ ἐλπίδι γυῖα, προμα-
“ θείας δ' ἀπόκεινται ῥοαί.
“ κερδέων δὲ χρὴ μέτρον θηρευέμεν.
“ ἀπροσίκτων δ' ἐρώτων ὀξύτεραι
“ μανίαι.



certus non ſequitur exitus: »
ſed tamen in ſuperbias in- »
gredimur, opera multa mo- »
lientes. vincta ſunt enim »
impudenti ſpe membra, »
prouidentiæque longè re- »
moti ſunt fluxus. Lucro- »
rum autem oportet certum »
modulum venari. Deſideria »
enim *rerum* ad quas perue- »
niri non poteſt, *habent* a- »
criorem inſaniam. »

Universidad de Deusto Biblioteca

# ΠΙΝΔΑΡΟΥ
## Ισθμια.
## ΗΡΟΔΟΤΩ
### Θηβαίῳ.
### Εἶδος Α.

στροφὴ α. κῶλ. ζ.

ΜΑΤΕΡ ἐμά τὸ τεόν χρυσάσπι Θήβα πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον θήσομαι. μή μοι κραναὰ νεμεσάσαι Δᾶλος, ἐν ᾇ κέχυμαι. τί φίλτερον κεδνῶν τοκέων ἀγαθοῖς; εἶξον ὦ Ἀπολλωνιάς· ἀμφοτέρων τοι σὺν θεοῖς ζεύξω τέλος, [χαρίτων

ἀντιστρ. κῶλ. ζ.

καὶ τὸν ἀκειρεκόμαν Φοῖβον χορεύων ἐν Κέῳ ἀμφιρύτᾳ, σὺν ποντίοις ἀνδράσιν, καὶ τὰν ἁλιερκέα Ἰσθμοῦ



# PINDARI
## Isthmia.
## HERODOTO,
### Thebano.
### Ode I.

MATER mea aureo clypeo insignis Theba, existimabo tuum negotiũ etiam potius occupatione *mea.* ne mihi aspera succenseat Delus, in quam sum effusus *toto animo.* Quid est charius bonis *viris* quàm venerandi parentes? Cede ô Apollinaris *Dele* amborũ tibi beneficiorũ coniungã persolutionẽ, diis bene iuuãtibus: * & intonsum coma Phœbum saltans celebrando in Ceo circunflua cũ maritimis viris, & mari vallatum Isthmi

δειράδ'. ἐπεὶ στεφάνους ἓξ ὤπασεν
Κάδμου στρατῷ ἐξ ἀέθλων,
καλλίνικον πατρίδι κῦδος· ἐν ᾇ καὶ τὸν ἀ-
μαντον Ἀλκμήνα τέκε [δεί-

ἐπῳ. κῶλ. ια.

παῖδα, θρασεῖαι τόν ποτε Γηρυόνα
φρίξαν κύνες.
ἀλλ' ἐγὼ Ἡροδότῳ τεύχων
τὸ μὲν ἅρματι τεθρίππῳ γέρας,
ἀνία τ' ἀλλοτρίαις οὐ
χερσὶ νωμάσαντ', ἐθέλω
ἢ Καστορείῳ ἢ Ἰολάου ἐναρ-
μόξαι μιν ὕμνῳ.
κεῖνοι γὰρ ἡρώων διφρη-
λάται Λακεδαίμονι καὶ Θή-
βαις ἐτέκνωθεν κράτιστοι.

στρο. β. κῶλ. ζ.

ἔν τ' ἀέθλοισι θίγον πλείστων ἀγώνων,
καὶ τριπόδεσσιν ἐκόσμησαν δόμον,
καὶ λεβήτεσσιν, φιάλαισί τε χρυσοῦ,
γευόμενοι στεφάνων νικαφόρων.
λάμπει δὲ σαφὴς ἀρετὰ
ἔν τε γυμνοῖσι σταδίοις σφίσιν, ἔν τ' ἀ-
ποισιν ὁπλίταις δρόμοις. [ἀσπιδοδού-



iugum. quoniam coronas sex præbuit Cadmi populo ex certaminibus, patriæ decus ob præclaram victoriam: in qua etiam intrepidum Alcmene peperit * puerum, quem feroces quendam Geryonæ horruerunt canes. At ego Herodoto struens honorarium munus ob currum quadriiugum, in quo frena alienis non rexerit manibus, volo aut Castoris aut Iolai adaptare illum hymno. Illi enim inter heroas curruum agitatores Lacedæmone & Thebis geniti sunt præstantissimi, * & in ludis solennibus potiti sunt plurimis certaminibus, & tripodibus, ornauerunt domum & lebetibus, & phialis aureis gustantes *fructum* coronarũ victriciũ. Fulget autẽ manifesta fortitudo illis & in gymniacis stadiis, & in armatis cursibus scutistrepis.

Universidad de Deusto Biblioteca

αἰπστρ. κῶλ. ζ.

οἷά τε χερσὶν ἀκοντίζοντες, αἰχμαῖς
καὶ λιθίνοις ὁπότε δίσκοις ἵεν·
οὐ γὰρ ἦν πένταθλον ἔτ᾽, ἀλλ᾽ ἐφ᾽ ἑκάστῳ
ἔργματι κεῖτο τέλος, τῶν ἀθρόοις
ἀνδησάμενοι θαμάκις
ἔρνεσιν χαίτας, ῥεέθροισί τε Δίρκας ἔ-
φανεν καὶ παρ᾽ Εὐρώτᾳ πέλας·

ἐπῳδ. κῶλ. ια.

Ἰφικλέος μὲν παῖς, ὁμόδαμος ἐὼν
Σπαρτῶν γένει,
Τυνδαρίδας δ᾽ ἐν Ἀχαιοῖς ὑ-
ψίπεδον Θεράπνας οἰκέων ἕδος.
χαίρετ᾽· ἐγὼ δὲ Ποσειδά-
ωνί τ᾽ Ἰσθμῷ τε ζαθέᾳ,
Ὀρχησίαισίν τ᾽ ἀϊόνεσσι περι-
στέλλων ἀοιδὰν,
γαρύσομαι τοῦδ᾽ ἀνδρὸς ἐν
τιμαῖσιν ἀγακλέα τὰν
Ἀσωποδώρου πατρὸς αἶσαν,

στρο. γ. κῶλ. ζ.

Ὀρχομενοῖό τε πατρῴαν ἄρουραν,
ἅ νιν ἐρειδόμενον ναυαγίαις
ἐξ ἀμετρήτας ἁλὸς, ἐν κρυοέσσᾳ



o * qualiter manibus iaculantes, quum iacularentur iaculis & saxeis discis. neque enim erat quinquertium, sed vnicuique facto propositum erat præmium. quorum *factorum* frondibus confertis redimiti sæpe comas, conspicui fuerunt, & apud fluenta Dirces & iuxta Eurotam.

* Iphiclis quidem filius, popularis existens generis Spartorum: Tyndarides autem, apud Achæos habitans Therapnes sedē alti soli. Saluete, ô *heroes*: ego autē Neptuno Isthmóque diuinæ Orchestiisque ripis concinnans canticum, celebrabo inter huius viri laudes, perinclytam Asopodori sortem, * Orchomeníque auitum aruum, quod ipsum extrusum naufragio ex immenso salo, in horrendo

δέξατο συντυχίᾳ. νῦν δ' αὖτις ἀρ-
χαίας ἐπέβασε πότμος
« συγγενὴς εὐαμερίας. ὁ πονήσαις δὲ, νόῳ
« καὶ προμάθειαν φέρει.

ἀντιστρ. κώλ. ζ.

« εἰ δ' ἀρετᾷ κατάκειται πᾶσαν ὀργὰν
« ἀμφότερον δαπάναις τε καὶ πόνοις,
« χρή νιν εὑρόντεσσιν ἀγάνορα κόμπον
« μὴ φθονεραῖσι φέρειν γνώμαις. ἐπεὶ
« κούφα δόσις ἀνδρὶ σοφῷ,
« ἀντὶ μόχθων παντοδαπῶν ἔπος εἰπόντ'
« ξυνὸν ὀρθῶσαι καλόν. [ἀγαθὸν,

ἐπῳ. κῶ. ια.

« μισθὸς γὰρ ἄλλοις ἄλλος ἐφ' ἔργμασιν ἀν-
« θρώποις γλυκὺς,
« μηλοβότᾳ τ', ἀρότᾳ τ', ὀρνι-
« χολόχῳ τε, καὶ ὃν πόντος τρέφει·
« γαστρὶ δὲ πᾶς τις ἀμύνων
« λιμὸν αἰανῆ τέταται.
« ὃς δ' ἀμφ' ἀέθλοις, ἢ πολεμίζων, ἄρη-
« ται κῦδος ἁβρὸν
« εὐαγορηθεὶς, κέρδος ὕ-
« ψιστον δέκεται, πολια-
« τᾶν καὶ ξένων γλώσσας ἄωτον.



excepit casu. nunc autem rursus fortuna congenita restituit in pristinam felicitatem. Qui autem ærumnas pertulit, » cōsequitur etiam prouidentiā » animo. *Quòd si virtus repo- » sitū habet omne studiū pari- » ter in sumptibus & laboribus, » oportet nactis eam tribuere » magnificam gloriationem nō » inuidis sententiis. Etenim le- » uis donatio *est* viro sapienti, » loquendo verbum honorifi- » cum pro laboribus omnige- » nis, commune constabilire » bonum. * Merces enim alia » aliis hominibus dulcis ob fa- » cta, & pastori ouium & arato- » ri, & auium insidiatori, & *illi* » quem mare educat: sed quili- » bet contentas *habet vires* ad » propulsandum tetram fa- » mem à ventre. At qui in cer- » taminibus aut prælians ade- » ptus fuerit decus splendidum, » laudatus, accipit lucrum sum- » mum florem linguæ ciuium » & peregrinorum. »

στρο. δ, κῶλ. ζ.

ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱὸν
γείτον' ἀμειβομένοις εὐεργέταν
ἁρμάτων ἱπποδρόμιον κελαδῆσαι·
καὶ σέθεν Ἀμφιτρύων παῖδας προσει-
πεῖν, τὸν Μινύα τε μυχὸν,
καὶ τὸ Δάματρος κλυτὸν ἄλσος Ἐλευσῖνα
βοιαν ἐν γναμπτοῖς δρόμοις. [καὶ Εὔ-

ἀντιστρ. κῶλ. ζ.

Πρωτεσίλα, τὸ τεὸν δ' ἀνδρῶν ἀχαιῶν
ἐν Φυλάκᾳ τέμενος συμβάλλομαι.
πάντα δ' ἐξειπεῖν ὅσ' ἀγώνιος Ἑρμᾶς
Ἡροδότῳ ἔπορεν ἵπποις, ἀφαι-
ρεῖται βραχὺ μέτρον ἔχων
“ ὕμνος. ἦ μὰν πολλάκι καὶ τὸ σεσωπαμέ-
“ θυμίαν μείζω φέρει· [νον, εὐ-

ἐπῳ. κῶλ. ια.

εἴη μιν εὐφώνων πτερύγεσσιν ἀερ-
θέντ' ἀγλααῖς
Πιερίδων, ἔτι καὶ Πυ-
θῶθεν. ὀλυμπιάδων τ' ἐξαιρέτοις
Ἀλφεοῦ ἔρνεσι φράξαι
χεῖρα, τιμὰν ἑπταπύλοις
“ Θήβαισι τεύχοντ'. εἰ δέ τις ἔνδον νέμει



*Nos igitur decet Saturni filio quassatori terræ, vicino gratiam referentes, benemerito de curribus, præsidi cursuum equestrium, hymnum decãtare: & tuos Amphitruo filios compellare, & Minyæ recessum, & Cereris inclytũ lucũ, Eleusinem, & Eubœam, in curriculis inflexis. *Protesilae, tuum quoq; addo delubrum *quod est* apud Phylacẽ, *dicatũ* à viris Achæis. Omnia autem eloqui quæcumque certaminalis Mercurius Herodoto dedit equis, impedit hymnus breuem mensuram habens. Certè sæpe quod est silentio præteritum voluptatem maiorem affert. *Contingat ipsum alis splendidis vocalium Musarum in altum sublatum, adhuc & ex Pythone, & Olympiadum eximíis Alphei ramis munire manum, honorem Thebis portas septem habentibus acquirentem. Quòd siquis “
intus fouet “

« πλοῦτον κρυφαῖον,
« ἄλλοισι δ' ἐμπίπτων γελᾷ,
« ψυχὰν ἀΐδα τελέων οὐ
« φράζεται δόξας ἄνευθεν.

## ΞΕΝΟΚΡΑΤΕΙ Α-
## κραγαντίνῳ.

### Εἶδος Β.

στροφὴ α. κώλ. η.

Οἱ μὲν πάλαι, ὦ Θρασύβουλε,
φῶτες, ὅσοι χρυσαμπύκων
ἐς δίφρον μοισᾶν ἔβαι-
νον, κλυτᾷ φόρμιγγι συναντόμενοι,
ῥίμφα παιδείοις ἐτόξευ-
ον μελιγάρυας ὕμνους,
ὅστις ἐὼν καλὸς εἶχεν Ἀφροδίτας
εὐθρόνου μνάστειραν ἁδίσταν ὀπώραν.

ἀντιστρ. κώλ. η.

ἁ μοῖσα γὰρ οὐ φιλοκερδής
πω τότε ἦν, οὐδ' ἐργάτις·
οὐδ' ἐπέρναντο γλυκεῖ-
αι μελίφθογγοι ποτὶ Τερψιχόρας,



diuitias occultas, & aliis in- »
sultans ridet, non cogitat *se* »
animam orco pendere sine »
gloria. »

## XENOCRATI
## Agrigentino.

### Ode II.

PRisci viri, ô Thrasybule, quicunque in currum Musarum redimicula aurea habentium ascendebant, [ob]uiam procedentes cum inclyta cithara, celeriter eiaculabantur mellisonos hymnos pueris amasiis conuenientes, *in gratiam eius* quicunque existens pulcher habebat autumnale pomum suauissimum, quod admoneret Veneris pulchro solio insidentis. Musa enim nondum cupida lucri erat, neque mercenaria: neque vendebantur à Terpsichore dulces mellisonæ cantilenæ,

ἀργυρωθεῖσαι πρόσωπα,
μαλθακόφωνοι ἀοιδαί.
νῦν δὲ ἐφίητι τὠργείου φυλάξαι
ῥῆμα, τῆς ἀλαθείας ἄγχιστα βαῖνον,

ἐπω. κῶλ. ζ.

« χρήματα χρήματ' ἀνήρ. [λωτ.
ὃς φᾶ, κτεάνων θ' ἅμα λειφθεὶς καὶ φί-
ἐστὶ γὰρ ὢν σοφὸς, οὐκ ἄγνωτ' ἀείδω
Ἰσθμίαν ἵπποισι νίκαν,
τὰν Ξενοκράτει Ποσειδάων ὀπάσαις,
Δωρίων αὐτῷ στεφάνωμα κόμαν
πέμπεν ἀνδεῖσθαι σελίνων,

στροφ. β. κῶλ. η.

εὐάρματον ἄνδρα γεραίρων,
Ἀκραγαντίνων φάος.
ἐν Κρίσᾳ δ' εὐρυσθενὴς εἶ-
δ' Ἀπόλλων μιν, πόρε τ' ἀγλαΐαν·
καὶ τόθι κλειναῖς Ἐρεχθει-
δᾶν χαρίτεσσιν ἀραρὼς,
ταῖς λιπαραῖς ἐν Ἀθάναις οὐκ ἐμέμφθη
ῥυσίδιφρον χεῖρα πλαξίπποιο φωτὸς,

ἀντιστρ. κῶλ. η.

τὰν Νικόμαχος κατὰ καιρὸν
νῶμα πάσαις ἀνίαις·



deargentatæ vultus, mollem habentes vocem. at nunc permittit seruare dictum *viri* Argiui, ad veritatē proximè accedens, *Pecuniæ pecuniæ »
vir. Qui dixit *hoc* opibus si- »
mul destitutus & amicis. Sed »
enim es sapiens, non incognitam cano Isthmiam victoriam equis *partam*: quam Xenocrati Neptunus postquam præbuit, misit ei coronamentum Doricorum apiorum ad redimiendam comam, * ornans virum curru præstantem, Agrigentinorum lumen. Apud Crisām quoque eum latepotens aspexit Apollo, præbuitque *ei* decus, & ibi inclytis Erechtidarum gratiis ornatus, splendidas apud Athenas non conquestus est de manu viri stimulatoris equorum, gubernatrice currus, * quam Nicomachus regebat opportunè omnibus habenis.

Universidad de Deusto
Biblioteca



ὅν τε καὶ κάρυκες ὥ-
ραν ἀνέγνων σπονδοφόροι Κρονίδα
Ζηνὸς Ἀλείου, παθόντες
πού τι φιλόξενον ἔργον·
ἁδυπνόῳ τέ νιν ἀσπάζοντο φωνᾷ,
χρυσέοις ἐν γουνάσιν πιτνῶντα νίκας

ἐπῳ. κῶλ. ζ.

γαῖαν ἀνὰ σφετέραν,
τὰν δὴ καλέοισιν Ὀλυμπίου Διὸς
ἄλσος, ἵν' ἀθανάτοις Αἰνησιδάμου
παῖδες ἐν τιμαῖς ἔμιχθεν.
καὶ γὰρ οὐκ ἀγνῶτες ὑμὶν ἐντὶ δόμοι
οὔτε κώμων, ὦ Θρασύβουλ', ἐρατῶν,
οὔτε μελικόμπων ἀοιδᾶν.

στροφ. γ. κῶλ. η.

« οὐ γὰρ πάγος, οὐδὲ προσάντης
« ἁ κέλευθος γίνεται,
« εἴ τις εὐδόξων ἐς ἀν-
« δρῶν ἄγοι τιμὰς Ἑλικωνιάδων.
μακρὰ δισκήσαις ἀκοντί-
σαιμι τοσοῦθ', ὅσον ὀργὰν
Ξενοκράτης ὑπὲρ ἀνθρώπων γλυκεῖαν
ἔσχεν. αἰδοῖος μὲν ἦν ἀστοῖς ὁμιλεῖν,



quem & præcones temporum
*destinatorum ludis Olympicis*
sacerdotes Saturnii Iouis Elei
agnouerunt, affecti *ab eo* ali-
quo hospitali beneficio: &
dulciter flante illum saluta-
runt voce, aurea in genua col-
lapsum victoriæ, * sua in
terra, quam vocant Olympii
Iouis delubrum. vbi Ænesida-
mi filii circumfusi fuerunt ho-
noribus immortalibus. ete-
nim non ignaræ vobis sunt
domus, ô Thrasybule, neque
hymnorum chorealium dele-
ctabilium, neque canticorum
mellito *sono* gloriantium.
*neque enim scopulus, neque „
ardua via existit siquis adue- „
hat honores Heliconiadum *in* „
*ædes* illustrium virorum. Iacto „
procul disco, eiaculer tam
longè quàm Xenocrates mo-
ribus suauibus homines *reli-*
*quos* anteiuit. Verendus erat
in conuersando cum ciuibus,

ἀντιστρ. κῶλ. η.

ἱπποτροφίας τε νομίζων
ἐν πανελλάνων νόμῳ,
καὶ θεῶν δαῖτας προσέ-
πτυκτο πάσας· οὐδέποτε ξενίαν
οὖρος ἐμπνεύσαις ὑπέστει-
λ᾽ ἱστίον ἀμφὶ τράπεζαν,
ἀλλ᾽ ἐπέρα ποτὶ μὲν Φᾶσιν θερείαις,
ἐν δὲ χειμῶνι, πλέων Νείλου πρὸς ἀ-
κτάς.

ἐπῳ. κῶλ. ζ.

« μὴ νῦν, ὅτι φθονεραὶ
« θνατῶν φρένας ἀμφικρέμανται ἐλ-
« πίδες,
μήτ᾽ ἀρετάν ποτε σιγάτω πατρῴαν,
μηδὲ τούσδ᾽ ὕμνους· ἐπεί τοι
οὐκ ἐλινύσοντας αὐτοὺς εἰργασάμην.
ταῦτα Νικάσιππ᾽ ἀπόνειμον, ὅταν
ξεῖνον ἐμὸν ἠθαῖον ἔλθῃς.



* equorúmque nutritiones obſeruans, ſecundùm ritum Græcorum vndique conuenientium, & deorum epulas amplexabatur omnes: neque vnquam ventus violentus inſpirans contraxit velum circa hoſpitalem menſam: ſed traiicebat ad Phaſin quidem æſtiuis *diebus*, hyeme autem, nauigans ad Nili ripas. * Ne igitur, quoniam « inuidæ ſpes pendent circa « mentes mortalium, neque » virtutem vnquam taceat paternam, neque hymnos. quoniam non immobiles eos feci. Hæc Nicaſippe recita, quum ad hoſpitem meum familiarem veneris.

Universidad de Deusto Biblioteca

## ΜΕΛΙΣΣΩι ΘΗ-βαίῳ, ἵπποις.

### Εἶδος Γ.

στροφὴ α. κῶλ. ι.

« Εἴ τις ἀνδρῶν εὐτυχήσαις,
« ἢ σὺν εὐδόξοις ἀέθλοις,
« ἢ σθένει πλούτου, κατέχει
« φρασὶν αἰανῆ κόρον,
« ἄξιος εὐλογίαις ἀστῶν μεμίχθαι.
« Ζεῦ, μεγάλαι δ' ἀρεταὶ θνατοῖς ἕ-
« ἐκ σέθεν· ζώει δὲ μάσσων [πονται
« ὄλβος ὀπιζομένων· πλαγίαις
« δὲ φρένεσσιν οὐχ ὁμῶς πάν-
« τα χρόνον θάλλων ὁμιλεῖ.

ἀντιστρ. κῶλ. ι.

εὐκλέων δ' ἔργων ἄποινα,
χρὴ μὲν ὑμνᾶσαι τὸν ἐσλόν.
χρὴ δὲ κωμάζοντ' ἀγαναῖς
χαρίτεσσι βαστάσαι.
ἔστι δὲ καὶ διδύμων ἀέθλων Μελίσσῳ
μοῖρα, πρὸς εὐφροσύναν τρέψαι γλυ-
[κεῖαν



## MELISSO THEbano victoriam adepto equis. Ode III.

SIquis hominum, felicitatem "
adeptus aut per illustria cer- "
tamina aut per robur diuitia- "
rum, cohibet in animo tetram "
petulantiam ex saturitate pro- "
uenientem, dignus *est* qui ad- "
misceatur inter præconia ci- "
uium. O Iupiter, magnæ virtu- "
tes comitantur mortales ex te: "
durat autem diuturnior felici- "
tas eorum qui prouidẽtes sunt, "
& circunspectè se gerunt: at "
cum peruersis mentibus non "
pariter conuersatur florens per "
omne tempus. * Oportet au- "
tem laudare *virum* fortem. *quæ laudationes sunt* præmia illustrium virorum. oportet etiam hymnis celebrantem, extollere blandis gratiis. Est autem etiam geminorũ certaminum Melisso sors, ad conuertendum dulcem ad voluptatem,

ἦτορ, ἐν βάσσαισιν Ἰσθμοῦ
δεξαμένῳ στεφάνους· τὰ δὲ κοί-
λᾳ λέοντος ἐν βαθυστέρ-
νου νάπᾳ, κάρυξε Θήβαν

ἐπῳ. κῶλ. ια.

ἱπποδρομίᾳ κρατέων.
ἀνδρῶν δ' ἀρετὰν
σύμφυτον οὐ κατελέγχει.
ἴστε μὰν Κλεωνύμου
δόξαν παλαιὰν ἅρμασι·
καὶ ματρόθεν Λαβδακίδαισι
σύννομοι, πλούτου διέστι-
χον τετραοριᾶν πόνοις·
« αἰὼν δὲ κυλινδομέναις
« ἁμέραις ἄλλ' ἄλλοτ' ἐ-
« ξάλλαξεν. ἄτρωτοι γε μὰν παῖδες θεῶν.

ΤΩι ΑΥΤΩι ΜΕ-
λίσσῳ.

Εἶδος Δ.

στροφὴ α. κῶλ. ι.

Ἔστι μοι θεῶν ἕκατι
μυρία παντᾷ κέλευθος,



cor, assequuto coronas in vallibus Isthmi. deinde, in caua valle syluosa leonis pectorosi, præconio affecit Thebam, * cursu equorum obtinens victoriam. Non dedecorat ergo virtutem cognatam virorum *qui fuerunt eius maiores*. Scitis enim Cleonymi gloriam antiquam curribus *partam*. & ex parte matris Labdacidis coniuncti, per diuitias ambularunt, quadrigarum laboribus. Tempus autem, dum » voluuntur dies, aliâs aliam af- » fert rerum vicissitudinem: sed » tamen inuulnerabiles filii deo- » rum. »

# EIDEM ME-
# lisso.

## Ode IIII.

Est mihi, Deorum voluntate, via immensa quoquouersum,

Universidad de Deusto
Biblioteca

ὦ Μέλισσ᾽. εὐμηχανίαν
γὰρ ἔφανες Ἰσθμίοις
ὑμετέρας ἀρετὰς ὕμνῳ διώκειν·
αἷσι Κλεωνυμίδαι θάλλοντες αἰεὶ
σὺν θεῷ, θνατὸν διέρχον-
« ται τὸ βίου τέλος. ἄλλοτε δ᾽ ἀλ-
« λοῖος οὖρος πάντας ἀνθρώ-
πους ἐπαΐσσων ἐλαύνει.

ἀντιστρ. κῶλ. ι.

τοὶ μὲν ὦν Θήβαισι τιμά-
εντες ἀρχᾶθεν λέγονται,
πρόξενοί τ᾽ ἀμφικτυόνων,
κελαδεννᾶς τ᾽ ὀρφανοὶ
ὕβριος· ὅσσα δ᾽ ἐπ᾽ ἀνθρώπους ἄηται
μαρτύρια φθιμένων ζωῶν τε φωτῶν
ἀπλέτου δόξας, ἐπέψαυ-
σαν κατὰ πᾶν τέλος. ἀνορέαις
δ᾽ ἐσχάταισιν οἴκοθεν στά-
λαισιν ἅπτονθ᾽ Ἡρακλείαις.

ἐπῳ. κῶλ. ια.

καὶ μηκέτι μακροτέραν
σπεύδειν ἀρετάν.
ἱπποτρόφοι τ᾽ ἐγένοντο,
χαλκίῳ τ᾽ Ἄρει ἅδον.



ô Melisse. exhibuisti enim
in Isthmiis amplam facul-
tatem prosequendi hymno
vestras virtutes. quibus
Cleonymidæ florẽtes sem-
per dei beneficio, morta-
lem percurrunt vitæ ter-
minum. Aliâs autem alius "
flatus ingruens omnes ho "
mines exagitat. *Illi igitur
maiores tui Thebis hono-
rati antiquitus memoran-
tur, hospitalésq; Amphi-
ctyonibus se præbentes,
& tumultuosæ expertes
contumeliæ. Quæcunque
autem inter homines voli-
tant testimonia immensæ
gloriæ mortuorum & su-
perstitum virorum, attige-
runt secundum omnem
perfectionem. strenuitati-
bus autem domesticis ex-
tremas attingunt Herculis
columnas. * & ne longiùs
progredientẽ affectes vir-
tutem: equorum insuper
nutritores fuerũt, & Mar-
ti æreo placuerunt.

Universidad de Deusto Biblioteca

ἀλλ' ἁμέρᾳ γὰρ ἐν μιᾷ
τραχεῖα νιφὰς πολέμοιο
τεσσάρων ἀνδρῶν ἐρήμω-
σεν μάκαιραν ἑστίαν.
νῦν δ' αὖ μετὰ χειμέριον
ποικίλων μηνῶν ζόφον,
χθὼν ἅτε φοινικέοις ἄνθησεν ῥόδοις,

στρο. β. κῶλ. ι.

δαιμόνων βουλαῖς. ὁ κινη-
τὴρ δὲ γᾶς, Ὀγχηστὸν οἰκέων,
καὶ γέφυραν ποντιάδα,
πρὸ Κορίνθου τειχέων,
τόνδε πορὼν γενεᾷ θαυμαστὸν ὕμνον,
ἐκ λεχέων ἀνάγει φάμαν παλαιὰν
εὐκλεῶν ἔργων. ἐν ὕπνῳ
γὰρ πέσεν· ἀλλ' ἀνεγειρομένα,
χρῶτα λάμπει, ἑωσφόρος θα-
ητὸς ὡς ἄστροις ἐν ἄλλοις.

ἀντιστρ. κῶλ. ι.

ἅτε κ' ἐν γουνοῖς Ἀθανᾶν
ἅρμα καρύξαισα νικᾶν,
ἔν τ' Ἀδραστείοις ἀέθλοις
Σικυῶνος, ὤπασε
τοιάδε τῶν τότ' ἐόντων φύλλ' ἀοιδᾶν



Sedenim in vno die asper belli nymbus niualis quatuor viris orbauit beatam domum. Nunc autem post hybernā mutabilium mensium caliginem, floruerunt sicut terra rosis purpureis, * deorum numine. At quassator terræ, Onchestum incolens & pontem marinum, ante muros Corinthi, famam antiquam illustrium facinorum reducit è lecto *expergefactam*, largitus hunc mirificum hymnum generi In somnum enim ceciderat, sed excitata fulget corpore, sicut Lucifer conspicuus astra inter cetera. *Quæ & in fertili solo Athenarum quum præconio promulgasset vincere curru, & in Adrasteis certaminibus Sicyonis, præbuit talia folia poetarum qui tunc erant.

οὐδὲ παναγυρείων ξυνᾶν ἀπεῖχον
καμπύλον δίφρον· πανελλά-
νεσσι δ' ἐριζόμενοι, δαπάνᾳ
« χαῖρον ἵππων. τῶν ἀπειρά-
« των γὰρ ἄγνωστοι σιωπαί.

ἐπῳ. κῶλ. ια.

« ἔστιν δ' ἀμφάνεια τύχας
« καὶ μαρναμένων,
« πρὶν τέλος ἄκρον ἱκέσθαι.
» τῶν τε γὰρ διδοῖ τέλος,
« καὶ κρέσσον' ἀνδρῶν χειρόνων
« ἔσφαλε τέχνα καταμάρψαι-
« σ'. ἴστε μὰν Αἴαντος ἀλκὰν
φοίνιον, τὰν ὀψίᾳ
ἐν νυκτὶ ταμὼν περὶ ᾧ
φασγάνῳ, μομφὰν ἔχει
παίδεσσιν Ἑλλάνων ὅσοι Τρώανδ' ἔ-
[βαν.

στροφ. γ. κῶλ. ι.

ἀλλ' Ὅμηρός τοι τετίμα-
κε δι' ἀνθρώπων, ὃς αὐτοῦ
πᾶσαν ὀρθώσαις ἀρετὰν,
κατὰ ῥάβδον ἔφρασε
θεσπεσίων ἐπέων, λοιποῖς ἀθύρειν·
τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει,



neque à communibus conuenientibus panegyricis, curuum currum dimouebãt, sed cum Græcis vndique concurrentibus certantes, gaudebant sumptu in equos *alendos*. Eorum enim „ qui non sunt experti *certamina* „ silentia sunt in notitiam non „ venientia. * Est tamen incerti- „ tudo fortunæ etiam pugnanti „ priusquam ad finem summum „ venient. horum enim dat fi- „ nem, & virorum deteriorum „ ars corripiens præstantiorem „ supplantat. Nostis Aiacis robur „ cruentum, quod nocte sera postquam secuit suo ense, culpatur apud omnes filios Græcorum qui ad Troiam profecti sunt. * Sed Homerus honorauit inter homines, qui eius omnem stabiliens virtutem, rhapsodiam diuinorum versuum protulit, cantilenam *futuram* posteris. Nam siquis præclarè aliquid dixerit



Universidad de Deusto Biblioteca

« εἴ τις εὖ εἴποι τι· καὶ πάγ-
« καρπον ἐπὶ χθόνα καὶ διὰ πόν-
« τον βέβακεν ἐργμάτων ἀ-
« κτὶς καλῶν ἄσβεστος αἰεί.

ἀντιστρ. κῶλ. ι.

προφρόνων Μοισᾶν τύχοιμεν,
κεῖνον ἅψαι πυρσὸν ὕμνων·
καὶ Μελίσσῳ παγκρατίου
στεφάνωμ' ἐπάξιον,
ἔρνεϊ Τελεσιάδα. τόλμᾳ γὰρ εἰκὼς
θυμὸν ἐριβρεμετᾶν θηρᾶν λεόντων
ἐν πόνῳ· μῆτιν δ', ἀλώπηξ,
αἰετοῦ ἅτ' ἀναπιτναμένα
« ῥόμβον ἴσχει. χρὴ δὲ πᾶν ἔρ-
« δοντ' ἀμαυρῶσαι τὸν ἐχθρόν.

ἐπῳδ. κῶλ. ια.

οὐ γὰρ φύσιν Ὠαριω-
νείαν ἔλαχεν·
ἀλλ' ὀνοτὸς μὲν ἰδέσθαι,
συμπεσεῖν δ' αἰχμᾷ, βαρύς.
καί τοι ποτ' Ἀνταίου δόμους
Θηβᾶν ἀπὸ Καδμειᾶν, μορ-
φὰν βραχύς, ψυχὰν δ' ἄκαμπτος,
προσπαλαίσων ἦλθ' ἀνήρ,



*in laudem alicuius*, hoc in- »
cedit resonans immortali- »
ter. perque tellurem omni- »
fructiferam & per mare »
transit insignium facino- »
rum radius, inextinctus »
semper. * Nanciscamur »
musas propensas ad ac-
cendendam illam facem
hymnorum: etiam Me-
lisso stirpi Telesiadæ coro-
namentum pancratio di-
gnum. *Ille* enim animosi-
tate similis audaciæ graui-
ter frementium leonum,
ad venandum cum labore:
solertia autem *est* vulpes,
quæ supina cohibet impe-
tum aquilæ. Oportet au- »
tem quidlibet faciendo la- »
befactare aduersarium. »
*Non enim staturã Orio- »
neã sortitus est: sed con-
temptibilis quidẽ aspectu,
ad confligendũ autẽ hasta,
grauis. atq; adeo quõdam
vir breuis statura, sed a-
nimo infractus, filius Al-
cmenæ venit Thebis Ca-
dmeis

Universidad de Deusto
Biblioteca



τὰν πυροφόρον Λιβύαν,
κρανίοις ὄφρα ξένων
ναὸν Ποσειδάωνος ἐρέφοντα σχέθοι.

στρο. δ. κῶλ. ι.

υἱὸς Ἀλκμήνας· ὃς Οὐλυμ-
πόνδ' ἔβα, γαίας τε πάσας
καὶ βαθυκρήμνου πολιᾶς
ἁλὸς ἐξευρὼν θέναρ,
ναυτιλίαισί τε πορθμὸν ἁμερώσαις·
νῦν δὲ παρ' Αἰγιόχῳ κάλλιστον ὄλβον
ἀμφέπων ναίει, τετίμα-
ταί τε πρὸς ἀθανάτων φίλος· Ἥ-
βαν τ' ὀπυίει, χρυσέων οἴ-
κων ἄναξ, καὶ γαμβρὸς Ἥρας.

ἀντιστρ. κῶλ. ι.

τῷ μὲν Ἀλεκτρᾶν ὕπερθεν
δαῖτα πορσύνοντες ἀστοὶ,
καὶ νεόδματα στεφανώ-
ματα βωμῶν, αὔξομεν
ἔμπυρα χαλκοαρᾶν ὀκτὼ θανόντων,
τοὺς Μεγάρα τέκει οἱ Κρεοντὶς υἱούς,
τοῖσιν ἐν δυσμαῖσιν αὐγᾶν
φλὸξ ἀνατελλομένα συνεχὲς
παννυχίζει, αἰθέρα κνι-



in triticiferam Lybiam, ad Antæi ædes, colluctaturus, vt cohiberet operientem Neptuni templum caluariis hospitum: *qui *filius Alcmenæ* Olympum adiit, quum inuenisset terrásque omnes & cani maris latitudinem in præceps profundi, nauigationibúsque fretũ mansuefecisset. Nunc autem apud ægidis gestatorem habitat, pulcherrimam felicitatem circum amplectens, & honore affectus est ab immortalibus, amicus *existẽs*: concumbítque Hebæ, aurearum ædium dominus, & gener Iunonis. *Huic supra Electras *portas* epulum adornantes ciues & recẽs structa coronamenta altarium cumulamus *domus* inferias mortuorum octo ære interfectorum, quos Megera Creontis filia illi peperit filios. quibus in occasu radiorum *solis* flamma emergens assiduè pernoctat, ætherem fe-

σᾶντι λακτίζοισα καπνῷ.

ἐπῳδ. κῶλ. ια.

καὶ δεύτερον ἁμέρᾳ ἐπετεί-
ων ἀέθλων τέρμα
γίνεται, ἰσχύος ἔργον.
ἔνθα λευκωθεὶς κάρα
μύρτοις ὅδ᾽ ἀνὴρ, διπλόαν
νίκαν ἀνεφάνατο, παίδων
τὴν τρίταν πρόσθεν, κυβερνα-
τῆρος οἰακοστρόφου
γνώμᾳ πεπιθὼν πολυβού-
λῳ. σὺν Ὀρσέᾳ δέ νιν [κω-
μάζομαι, τερπνὰν ἐπιστάζων χά-

ΦΥΛΑΚΙΔΑι ΑΙΓΙ-
νήτῃ, παγκρατίῳ.

Εἶδος Ε.

στροφ. α. κῶλ. η.

ΜΑτερ ἀλίου πολυώνυμε Θεία,
σέο γ᾽ ἕκατι καὶ μεγασθενῆ νό-
μισαν
χρυσὸν ἄνθρωποι περιώσιον ἄλλων.



riens fumo nidorifero. * & postera dies *est* anniuersariorum certaminum terminus, roboris opus. Vbi vir hic dealbatus caput myrtis, duplici victoria se conspicuum reddidit, tertiam antea adolescentium, obsequutus cōsilio prudentis aurigæ versantis clauum. Cum Orsea igitur ipsum hymno celebro, iucundam distillans gratiam.

PHYLACIDAE
AEginetæ, *victoriam adepto* pancratio.

Ode V.

MAter solis Thia multinominis, propter te, etiam præpotens aurum existimarunt homines eminere supra cætera.

Universidad de Deusto
Biblioteca



καὶ γὰρ ἐριζόμεναι
νᾶες ἐν πόντῳ, καὶ ἐν ἅρμασιν ἵπποι,
διὰ τεὰν ὦ 'νασσα τιμὰν,
ὠκυδινάτοις ἐν ἁμίλ-
λαισι θαυμαστοὶ πέλονται.

ἀντιστρ. κῶλ. η.

ἔν τ' ἀγωνίοις ἀέθλοισι ποθεινὸν
κλέος ἔπραξεν, ὅντιν' ἀθρόοι στέφανοι
χερσὶ νικάσαντ' ἀνέδησαν ἔθειραν,
ἢ ταχυτᾶτι ποδῶν.
« κρίνεται δ' ἀλκὰ διὰ δαίμονας ἀνδρῶν.
« δύο δέ τοι ζωᾶς ἄωτον
« μοῦνα ποιμαίνοντι τὸν ἄλ-
« πνιστον εὐανθεῖ σὺν ὄλβῳ,

ἐπῳ. κῶλ. ια.

« εἴ τις εὖ πάσχων, λόγον ἐσλὸν ἀκούοι.
« μὴ μάτευε Ζεὺς γενέσθαι· πάντ' ἔχεις,
« εἴ σε τούτων μοῖρ' ἐφίκοιτο καλῶν.
« θνατὰ θνατοῖσι πρέπει.
τὶν δ' ἐν Ἰσθμῷ διπλόα θάλλοισ' ἀρετὰ,
Φυλακίδα κεῖται, Νεμέᾳ δὲ, καὶ ἀμφοῖν
Πυθέα τε, παγκρατίου, τὸ δ' ἐμὸν
οὐκ ἄτερ Αἰακιδᾶν
κέαρ ὕμνων γεύεται·



nam certantes naues in mari &
in curribus equi propter tuum
ô regina, honorem, volubilibus
in certaminibus admirandi e-
xistunt: *& in contentione cer-
taminum optabilem gloriam
obtinuit *ille* quem victoriam
adeptum manibus aut veloci-
tate pedum frequentes coronæ
redimierunt comam. Iudicatur ”
autem *ex specimine edito* forti- ”
tudo hominum per numen di- ”
uinum. At duo sola fouent sua ”
uissimum vitæ florem, cum fe- ”
licitate florida: *videlicet* *si quis ”
commoditatibus *vitæ* fruens, ”
bene audiat. Ne enitaris Iupi- ”
ter fieri. omnia habes si horum ”
bonorum sors ad te peruenerit. ”
Mortalia mortales decent. Tibi ”
autem apud Isthmum duplex
virtus, florens ô Phylacida re-
posita est: apud Nemeam verò,
& ambobus, *tibi* & Pytheæ,
pancratii. Sed meum cor non
sine Æacidis hymnos gustat.

σὺν Χάρισιν δ' ἔμολον
Λάμπωνος υἱοῖς,

στροφ. β. κῶλ. η.

« τάνδ' ἐς εὔνομον πόλιν. εἰ δὲ τέτραπται
« θεοδότων ἔργων κέλευθον ἂν καθαρὰν
« μὴ φθόνει κόμπον τὸν ἐοικότ' ἀοιδᾷ
« κιρνάμεν ἀντὶ πόνων.
« καὶ γὰρ ἡρώων ἀγαθοὶ πολεμισταὶ
« λόγον ἐκέρδανον· κλέονται
« δ' ἔν τε φορμίγγεσσιν, ἐν αὐ-
« λῶν τε παμφώνοις ὁμοκλαῖς

ἀντιστρ. κῶλ. η.

μυρίον χρόνον· μελέταν δὲ σοφισταῖς
Διὸς ἕκατι πρόσβαλλον σεβιζόμενοι·
ἐν μὲν Αἰτωλῶν θυσίαισι φαενναῖς,
Οἰνεΐδαι κρατεροί·
ἐν δὲ Θήβαις, ἱπποσόας Ἰόλαος
γέρας ἔχει, Περσεὺς δ' ἐν Ἄργει·
Κάστορος δ' αἰχμὰ, Πολυδεύ-
κεός τ' ἐπ' Εὐρώτα ῥεέθροις.

ἐπῳδ. κῶλ. ια.

ἀλλ' ἐν Οἰνώνᾳ μεγαλήτορες ὀργαὶ
Αἰακοῦ, παίδων τε, τοὶ καὶ σὺν μάχαις
δὶς πόλιν Τρώων πράθον, ἑσπόμενοι



Cum Charitibus autem accessi in gratiam filiorum Lamponis, * in hâc bene legibus institutã ciuitatem. Quòd si se conuertit »
in viam puram factorum diui- »
nitus datorũ, ne inuideas glo- »
riationem consentaneam can- »
tui propinare pro laboribus. »
Etenim ex heroibus strenui »
bellatores famam reportarunt »
pro lucro, celebrãtúrque citha »
ris & tibiarum omnisono mur- »
mure, * in tempus infinitum. »
sophistis quoque Iouis volũta- »
te, commentationis *materiam* præbuerunt, in veneratione habiti. In Ætolorum enim sacrificiis illustribus, OEnidæ streneui: apud Thebas autem, equorum agitator Iolaus honorarium habet: Perseus verò apud Argos: at Castoris & Pollucis virtus bellica, iuxta Eurotæ fluenta. * Iam verò apud EOnonam magnanimi spiritus Æaci filiorumque, qui in præliis bis vrbem Troianorum euerterunt, sequentes



Universidad de Deusto Biblioteca

Universidad de Deusto Biblioteca



Ηρακλῆϊ πρότερον, [θεν

καὶ σὺν Ἀτρείδαις. ἔλα νῦν μοι πεδό-
λέγε τίνες Κύκνον, τίνες Ἕκτορα πέφνον
καὶ στράταρχον Αἰθιόπων ἄφοβον
Μέμνονα χαλκοάραν·
τίς γὰρ ἐσλὸν Τήλεφον
τρῶσεν ἑῷ δορὶ Κα-
ΐκου παρ᾽ ὄχθαις.

στροφ. γ. κῶλ. η.

Τοῖσιν Αἴγιναν προφέρει στόμα πάτραν
διαπρεπέα νᾶσον. τετείχισται δὲ πάλαι
πύργος ὑψηλαῖς ἀρεταῖς ἀναβαίνειν.
πολλὰ μὲν ἀρτιεπὴς
γλῶσσά μοι τοξεύματ᾽ ἔχει περὶ κείνων
κελαδῆσαι. καὶ νῦν ἐν Ἄρει
μαρτυρήσαι κεν πόλις Αἴα-
αντος, ὀρθωθεῖσα ναύταις,

ἀντιστρ. κῶλ. η.

ἐν πολυφθόρῳ Σαλαμὶς Διὸς ὄμβρῳ
ἀναρίθμων ἀνδρῶν χαλαζάεντι φόνῳ.
ἀλλ᾽ ὅμως καύχημα κατάβρεχε σιγᾷ.
« Ζεὺς τάδε καὶ τὰ νέμει,
« Ζεὺς, ὁ πάντων κύριος. ἐν δ᾽ ἐρατεινῷ
μέλιτι καὶ τοιαίδε τιμαὶ



Herculem prius, deinde cum Atridis. Nunc ô *Musa* agita *currum* mihi *altius* à terra. Memora quinam Cygnum, quinam Hectorem interfecerint, & ducẽ exercitus Æthiopũ intrepidũ Memnonem, ære perniciosum: quis verò strenuũ Telephũ vulnerauerit sua hasta ad ripas Caici. **Illi nimirũ* quibus os *omniũ* exhibet Æginam patriam, illustrem insulam. Ædificata est autẽ iamdudum turris altis virtutib⁹ ad ascendẽdũ. Multa mihi rectiloqua lingua habet tela ad resonãdum circa illum. & nunc quoque in bello Salamis vrbs Aiacis testari possit *virtutem AEginetarum* constabilita per nautas, * in Iouis imbre multis exitiali, infinitorum hominum grandinea cæde. Sed tamen gloriationem in sperge tacité. Iupiter hæc & illa tribuit, Iupiter *inquam* omnium dominus. & huiusmodi honorifica facta tanquam melle amabili,..

Universidad de Deusto
Biblioteca



καλλίνικον χάρμ' ἀγαπά-
ζοντι. μαρνάσθω τις ἔρδων
ἐπῳ. κῶλ. ια.
ἀμφ' ἀέθλοισιν, γενεὰν Κλεονίκου
« ἐκμαθών. οὔ τοι τετύφλωται μακρὸς
« μόχθος ἀνδρῶν, οὐδ' ὁπόσαι δαπάναι
« ἐλπίδων ἔκνισ' ὄπιν.
αἰνέω καὶ Πυθέαν ἐν γυιοδάμαις
Φυλακίδᾳ πλαγᾶν δρόμον εὐθυπορῆ-
σαι χερσὶ δεξιὸν, νόῳ ἀντίπαλον. [ἀν
λάμβανέ οἱ στέφανον·
φέρε δ' εὔμαλλον μίτραν,
καὶ πτερόεντα νέον
σύμπεμψον ὕμνον.

---

## ΦΥΛΑΚΙΔΑι ΠΥ-
## θέᾳ, Εὐθυμένει μάτρωι.

### Εἶδος ϛ.

στροφὴ α. κῶλ. ιγ.

Θάλλοντος ἀνδρῶν ὡς ὅτε συμπο-
σίου,
δεύτερον κρατῆρα μοισαίων μελέων



ouatione ob præclaram victo-
riam delectatur. Prælietur *alius*
quispiam res gerens * circa
certamina, gẽtem Cleonici vbi
cognouerit. Non inuolutus est »
cæcis tenebris longus labor vi- »
rorum: nec sumptus quicun- »
que spei sollicitudinem mole- »
stia affecerunt. Laudo & Py- »
theam inter membrorum do-
mitores *athletas* direxisse cur-
sum plagarum Phylacidæ ha-
bilem & mente æqualem. De-
prome illi coronam, affer &
vittam pulchros villos haben-
tem, & simul mitte nouum hy-
mnum alatum.

---

## PHYLACIDAE,
## Pytheæ, Euthyme-
## ni, auunculo.

### Ode VI.

FLorente virorum velut con-
uiuio, secundum calicem
carminum musarum

κίρναμεν Λάμπωνος εὐά-
θλου γενεᾶς ὕπερ. ἐν Νεμέᾳ
μὲν πρῶτον ὦ Ζεῦ τὶν ἄωτον
δεξάμενοι στεφάνων·
νῦν αὖτ' ἐν Ἰσθμῷ δεσπότᾳ
Νηρηίδεσσί τε πεντή-
κοντα παίδων ὁπλοτάτου
Φυλακίδα νικῶντος· εἴη δὲ τρίτον
σωτῆρι πορσαίνοντας Ὀλυμ-
πίῳ, Αἴγιναν κατα-
σπένδειν μελιφθόγγοις ἀοιδαῖς.

ἀντιστρ. κῶλ. ιγ.

« εἰ γάρ τις ἀνθρώπων δαπάνᾳ τε χαρεὶς
« καὶ πόνῳ πράσσει θεοδμάτους ἀρετάς,
« σύν τέ οἱ δαίμων φυτεύει
« δόξαν ἐπήρατον, ἐσχατιαῖς
« ἤδη πρὸς ὄλβου βάλλετ' ἄγκυ-
« ραν, θεότιμος ἐών.
τοίαισιν ὀργαῖς εὔχεται
ἀντιάσαις ἀΐδαν γῆ-
ράς τε δέξασθαι πολιόν
ὁ Κλεονίκου παῖς. ἐγὼ δ' ὑψίθρονον
Κλωθὼ κασιγνήτας τε προσεν-
νέπω, σπέσθαι κλυταῖσιν



miſcemus pro gente Lamponis
ſtrenua certatrice. Apud Ne-
meam enim primùm ô Iupiter
tuarum florem adepti coro-
narum: nunc autem apud Iſth-
mum, domino *eius* & Nereidi-
bus quinquaginta victoria po-
tiente Phylacida minimo natu
filiorum *Lamponis.* contingat
autem, tertium ſeruatori O-
lympio propinantes, Æginam
mellíſonis cantibus perfundere
*tanquam* libamentis. * Siquis »
enim hominum ſumptu dele- »
ctatus & labore exercet à deo »
ſtructas virtutes, ſimúlque deus »
illi amabilem gloriam ſerit, »
iam ad vltimos fines felicitatis »
*appellens* ancoram iecit, diuini- »
tus honoratus exiſtens. Talium
morum optat compos factus
Cleonici filius, orcum ſene-
ctámque canam excipere. Ego
autem alto ſolio inſidentem
Clotho ſororéſque parcas oro
vt ſequantur nobiles



Universidad de Deusto
Biblioteca

ἀνδρὸς φιλομοίρας ἐφετμαῖς·

ἐπῳ. κῶλ. ια.

ὔμμε τ' ὦ χρυσάρματοι Αἰακίδαι,
τέθμιόν μοι φαμὶ σαφέστατον εἶναι,
τάνδ' ἐπιστείχοντα νᾶσον,
ῥαινέμεν εὐλογίαις.
μυρίαι δ' ἔργων καλῶν
τέτμηνθ' ἑκατόμπεδοι ἐν σχερῷ κέλευ-
καὶ πέραν Νείλοιο παγᾶν, [θοι,
καὶ δι' Ὑπερβορέους. οὐδ' ἔστιν οὕτω
βάρβαρος οὔτε παλίγγλωσσος πόλις,
ἅτις οὐ Πηλέως ἀΐει κλέος
ἥρωος, εὐδαίμονος γαμβροῦ θεῶν·

στροφὴ β. κῶλ. ιγ.

οὐδ' ἅτις Αἴαντος Τελαμωνιάδα,
καὶ πατρός, τὸν χαλκοχάρμαν ἐς πόλεμον
ἆγε σὺν Τιρυνθίοισι,
πρόφρονα σύμμαχον ἐς Τροίαν ἥ-
ρωσιν μόχθων, Λαομεδοντι-
ᾶν ὑπὲρ ἀμπλακιᾶν,
ἐν ναυσὶν Ἀλκμήνας τέκος.
εἷλεν δὲ Περγαμίαν· πέ-
φνεν δὲ σὺν κείνῳ Μερόπων
τ' ἔθνεα καὶ τὸν βουβόταν οὔρει ἴσον



chari viri preces:* & vos ô Æacidæ aureis curribus insignes, aspergere præconiis, quum in hanc insulam venio, dico mihi ritum legitimum esse certissimum. Infinitæ autem facinorum præclarorum viæ, patentes per spatium centum pedum, sectæ sunt ordine, & vltra Nili fontes, & per Hyperboreos. *neque est vlla* adeo barbara vrbs & lingua *Græcæ* contraria *viens* quæ non audiat gloriam Pelei herois, beati deorum generi: * & Aiacis Telamoniadæ & patris, quem Alcmenæ filius duxit in nauibus ad Troiam, cum Tirynthiis in prælium ære gaudens, promptum socium herorum ad labores, pro Laomedontio delicto. expugnauit autem Pergama, & interfecit, *existens* vnà cum illo, *Telamone*, hominum gentes, & Alcyonea bubulcum *procerum* instar montis,

Φλέγραισιν εὑρὼν Ἀλκυονῆ·
σφετέρας δ᾽ οὐ φείσατο χερσὶ
βαρυφθόγγοιο νευρᾶς

ἀντιστρ. κῶλ. ιγ.

Ἡρακλέης· ἀλλ᾽ Αἰακίδαν καλέων,
ἐς πλόον κήρυξε πάντων δαινυμένων.
τὸν μὲν ἐν ῥινῷ λέοντος
στάντα, κελήσατο νεκταρέαις
σπονδαῖσιν ἄρξαι καρτεραίχμαν
Ἀμφιτρυωνιάδαν.
ἄνδωκε δ᾽ αὐτῷ φέρτατος
οἰνοδόκον φιάλαν χρυ-
σῷ πεφρικυῖαν Τελαμών.
ὁ δ᾽ ἀντείνας οὐρανῷ χεῖρας ἀμάχους,
αὔδασε τοιοῦτόν τι ἔπος, Εἴ
ποτ᾽ ἐμᾶν, ὦ Ζεῦ πάτερ,
θυμῷ θέλων ἀρᾶν ἄκουσας,

ἐπῳδ. κῶλ. ια.

νῦν σε νῦν εὐχαῖς ὑπὸ θεσπεσίαις
λίσσομαι, παῖδα θρασὺν ἐξ Ἐριβοίας
ἀνδρὶ τῷδε, ξεῖνον ἁμὸν,
μοιρίδιον τελέσαι·
τὸν μὲν ἄρρηκτον φυάν, [ται
ὥσπερ τόδε δέρμα με νῦν περιπλανᾶ-



nactus *eum* apud Phlegras: nec *habuit* * Hercules manus parcentes neruo *arcus* grauisono. Æacidem autem aduocans, nauigationem indixit voce præconis, dum omnes epularentur. qui *Æacides* Amphitryoniaden hastipotentē, quum constitisset in exuuio leonis, hortatus est auspicari nectareas libationes. porrexitque illi præstantissimus Telamon pateram vini exceptricem, auro rigentem. Ille autem, sublatis in cælum manibus inexpugnabilibus, protulit tale quoddam dictum, Si vnquā ô Iupiter pater, meā lubens precationē exaudisti, * nunc tibi nunc *inquā* precibus sacris supplico, huic viro filiū audacē ex Eriboea fatalē exhibere, *futurum* hospitē nostrum: & illum *esse* habitu corporis infracto, quemadmodum hoc exuuium me nunc circuit.

θηρὸς, ὃν πάμπρωτον ἄθλων [ἀθ-
κτεῖνά ποτ' ἐν Νεμέᾳ. θυμὸς δ' ἑπέ-
ταῦτ' ἄρα οἱ φαμένῳ πέμψεν θεὸς
ἀρχὸν οἰωνῶν μέγαν αἰετόν.
ἁδεῖα δ' ἔνδον μιν ἔκνιξεν χάρις

στρο. γ. κῶλ. ιγ.

εἶπέν τε φωνήσας, ἅτε μάντις ἀνήρ,
ἔσσεταί τοι παῖς ὃν αἰτεῖς ὦ Τελα-
καί νιν ὄρνιχος φανέντος [μών.
κέκλετ' ἐπώνυμον εὐρυβίαν
Αἴαντα, λαῶν ἐν πόνοις ἔκ-
παγλον Ἐνυαλίου.
ὣς ἄρα εἰπὼν, αὐτίκα
ἕζετ'. ἐμοὶ δὲ μακρὸν πά-
σας ἀγήσασθαι ἀρετάς.
Φυλακίδᾳ γὰρ ἦλθον μοῖσα ταμίας
Πυθέᾳ τε κώμων, Εὐθυμένει
τε. τὸν Ἀργείων τρόπον,
εἰρήσεταί που κ' ἐν βραχίστοις.

ἀντιστρ. κῶλ. ιγ.

ἄραντο γὰρ νίκας ἀπὸ παγκρατίου,
τρεῖς ἀπ' Ἰσθμοῦ, τὰς δ' ἀπ' εὐφύλλου
ἀγλαοὶ παῖδές τε καὶ μά- [Νεμέας
τρωες, ἂν δ' ἄγαγον ἐς φάος οἱ-



feræ, quam ego apud Nemeam interfeci, primum omnium laborum: animositas autem sit comes. Hæc illi loquuto misit deus ducem auium magnam aquilam: & dulce intus illum titillauit gaudium: *& dixit loquutus, vt vir vates, Erit tibi filius quem petis Telamon. & eum aquilæ quæ apparuerat cognominem appellauit Aiacem latepotentē stupendum in laboribus turmarum Martiarum. Sic loquutus, statim consedit. Mihi autem longum omnes commemorare virtutes. Phylacidæ enim veni ô musa & Pytheę dispensator hymnorum chorealium, nec non Euthymeni. Dicetur ergo paucissimis verbis Argiuorum more. Reportarunt igitur victorias ex pancratio, tres ab Isthmo, illas autem à Nemea folia pulchra habente illustres filii & auunculi. Qualem autem in lucem produxe-

αν μοῖραν ὕμνων. ταν Ψαλυχιά-
δαν δὲ πάτραν Χαρίτων
ἄρδοντι καλλίστᾳ δρόσῳ·
τόν τε Θεμιστίου ὀρθώ-
σαντες οἶκον, τάνδε πόλιν
θεοφιλῆ ναίοισι. Λάμπων δὲ μελέταν
ἔργοις ὀπάζων, Ἡσιόδου
μάλα τιμᾷ τοῦτ' ἔπος.
υἱοῖσί τε φράζων παραινεῖ,

ἐπῳ. κῶλ. ια.

ξυνὸν ἄστει κόσμον ἑῷ προσάγων·
καὶ ξένων εὐεργεσίαις ἀγαπᾶται,
μέτρα μὲν γνώμᾳ διώκων,
μέτρα δὲ καὶ κατέχων·
γλῶσσα δ' οὐκ ἔξω φρενῶν.
φαίης κέ νιν ἄνδρ' ἐν ἀεθληταῖσιν ἔμ-
Ναξίαν πέτραις ἐν ἄλλαις [μεν
χαλκοδάμαντ' ἀκόναν. πίσω σφὲ Δίρ-
ἁγνὸν ὕδωρ, τὸ βαθύζωνοι κόραι [κας
χρυσοπέπλου Μναμοσύνας ἀνέ-
τειλαν παρ' εὐτειχέσι Κάδμου πύλαις.



runt hymnorum sortem: sed & Psalychiadarum tribum irrigant pulcherrimo Gratiarum rore. Themistiique post quam rectè constituerunt domum, hanc vrbem diis charam habitant. Lampon autem studium & diligentiam adhibens rebus gerendis, maximè honorat Hesiodi hunc versum, & filiis recensens hortatur, * commune ciuitati suę decus afferens: & hospitum benefactis amatur, mediocritatem animo persequens, & mediocrimo persequens, & mediocritem retinens. lingua autem non *est* seorsum à mente. Diceres illum virum inter athletas esse Naxiam cotem, æris domitricem inter alios lapides. Potabo eos Dirces pura aqua, quam altè succinctæ filiæ Mnemosynes aurea veste ornatæ produxerunt iuxta bene structas Cadmi portas.

Universidad de Deusto Biblioteca

## ΣΤΡΕΨΙΑΔΗι ΘΗ-
## βαίῳ, παγκρατίῳ.

### Εἶδος Ζ.

στροφὴ α. κῶλ. η.

Τίνι τῶν πάρος, ὦ μάκαιρα Θήβα,
καλῶν ἐπιχωρίων μάλιστα θυ-
μὸν τεὸν
εὔφρανας; ἦ ῥα χαλκοκρότου πάρεδρον
Δαμάτερος, ἀνίκ' εὐρυχαίταν
ἄντειλας Διόνυσον· ἢ
χρυσῷ μεσονύκτιον
νίφοντα δεξαμένα
τὸν φέρτατον θεῶν,

ἀντιστροφὴ κῶλ. η.

ὁπότ' Ἀμφιτρύωνος ἐν θυρέτροις
σταθεὶς, ἄλοχον μετῆλθεν Ἡρακλείοις
γοναῖς;
ἢ ὅτ' ἀμφὶ Τειρεσίαο πυκναῖς βουλαῖς
ἢ ὅτ' ἀμφ' Ἰόλαον ἱππόμητιν,
ἢ σπαρτῶν ἀκαμαντολογ-
χᾶν· ἢ ὅτε καρτερᾶς
Ἄδραστον ἐξ ἀλαλᾶς



## STREPSIA-
## dæ Thebano, *vi-
## ctoriam adepto*
## pancratio.

### Ode VII.

QVónam præteritorum
ornamentorum patrio-
rum, ô beata Theba, maximè
animum tuum oblectasti? an
quum in lucem edidisti Bac-
chum laticomum æristrepæ
assessorem Cereris? an quum
excepisti media nocte præ-
stantissimum deorum auro
ningentem? * quum Amphi-
truonis in valuis stans, ad v-
xorem *eius* accessit cum se-
mine generaturo Herculem.
An quum Tiresiæ callido
consilio, an quum Iolao rei
equestris perito *te oblectasti*?
an *propter* Spartos infatiga-
biles hasta? an quum Adra-
stum valido ex tumultu bel-
li.

Universidad de Deusto
Biblioteca



ἀμπέμψας, ὀρφανὸν
ἐπῳ. κῶλ. η.
μυρίων ἑταίρων, εἰς Ἄργος ἵππιον;
ἢ Δωρίδ' ἀποικίαν ἠνίκ' ὀρθῷ
ἔστασας ἐπὶ σφυρῷ
Λακεδαιμονίων· ἕλον δ' Ἀμύκλας
Αἰγεΐδαι σέθεν ἔκγονοι,
μαντεύμασι Πυθίοις;
« ἀλλὰ παλαιὰ γὰρ εὕδει
« χάρις· ἀμνάμονες δὲ βροτοί,
στροφ. δ. κῶλ. η.
« ὅ,τι μὴ σοφίας ἄωτον ἄκρον
« κλυταῖς ἐπέων ῥοαῖσιν, ἐξίκηται ζυγέν.
κώμαζ' ἔπειτ' ἐν ἁδυμελεῖ σὺν ὕμνῳ
καὶ Στρεψιάδᾳ· φέρει γὰρ Ἰσθμοῖ
νίκαν παγκρατίου. σθένει
τ' ἔκπαγλος, ἰδεῖν τε μορ-
φάεις, ἄγει τ' ἀρετὰν
οὐκ αἴσχιον φυᾶς.
ἀντιστρ. κῶλ. η.
φλέγεται δ' ἰοπλοκάμοισι Μοίσαις, λος
μάτρωΐ θ' ὁμωνύμῳ δέδωκε κοινὸν θά
χαλκάσπις· ᾧ πότμον μὲν Ἄρης
ἔμιξε, τιμὰ δ' ἀγαθοῖσιν ἀντίκειται.



remisisti orbatum * infinitis so-
ciis ad Argos equestre? An quã-
do Doricam coloniam recto
constituisti in talo Lacedæmo-
niorum, ceperúntque Amiclas
Ægidæ tui progenitores oracu-
lis Pythicis? Sed enim vetus dor- „
mit beneficium, immemorésque „
que *sunt* mortales *eius rei* * quæ „
non peruenerit ad florem sum- „
mum sapientiæ inclytis carmi- „
num fluentis immixta. Salta- „
tionem igitur institue Strepsia-
dæ, dulcisono cum hymno. re-
portat enim apud Isthmum vi-
ctoriam pancratii, & robore
stupendus, & aspectu formo-
sus: & tractat virtutem non mi-
nus decenter quàm *postulet* in-
doles. * Fulgorem verò accipit
& à Musis violaceum capilli-
tium habentibus, & auunculo
cognomini dedit commune de-
cus. cui mortem Mars æreo cly-
peo insignis attulit. sed honor
præclaris *eius factis* ex aduerso
respondet

" ἴστω γὰρ σαφὲς ὅστις ἐν
" ταύτᾳ νεφέλᾳ χάλα-
" ζαν αἵματος πρὸ φίλας
" πάτρας ἀμμύνεται,

ἐπῳ. κῶ. η

" λοιγὸν ἀμύνων ἐναντίῳ στρατῷ
" ἀστῶν, γενεᾷ μέγιστον κλέος αὔξων
" ζώων τ' ἀπὸ καὶ θανών.
τὸ δὲ Διοδότοιο παῖ, μαχατὰν
αἰνέων Μελέαγρον, αἰ-
νέων δὲ καὶ Ἕκτορα,
Ἀμφιάραόν τ', εὐαν-
θέ' ἀπέπνευσας ἁλικίαν,

στροφ. γ. κῶλ. η.

προμάχων ἀν' ὅμιλον, ἔνθ' ἄριστοι
ἔσχον πολέμοιο νεῖκος, ἐσχάταις ἐλπίσιν,
ἔτλαν δὲ πένθος οὐ φατόν. ἀλλὰ νῦν μοι
γαιάοχος εὐδίαν ὄπασσεν
ἐκ χειμῶνος. ἀείσομαι,
χαίταν στεφάνοισιν ἁρ-
μόζων. ὁ δ' ἀθανάτων
μὴ θρασσέτω φθόνος,

ἀντιστρ. κῶλ. ν.

ὅ τι τερπνὸν ἐφάμερον διώκων,



Sciat enim certò quicunque in "
hac nube grandinem sanguinis "
à chara patria propulsat, * exi- "
tium à ciuibus depellens per "
contrarium exercitum, stirpi "
se maximam gloriam accumu- "
lare, & dum viuet, & quum ob- "
ierit. Tu autem fili Diodoti, æ- "
mulans laudes Meleagri, æmu-
lánsque laudes Hectoris at-
que Amphiarai, floridam expi-
rasti ætatem, * in turba pugnan-
tium in prima acie: vbi stre-
nuissimi sustinuerunt belli con-
tentionem, extrema spe, pertu-
lerúntque luctum non enarra-
bilem. At nunc terram conti-
nens *Neptunus* serenitatem pr-
buit post tempestatem. Can-
tabo, comam coronis aptans.
Immortalium autem non con-
turbet inuidia, * quòd oble-
ctationem quotidianam perse-
quens,



Universidad de Deusto Biblioteca

Universidad de Deusto Biblioteca

ἕκαλος ἔπειμι γῆρας, ἔστε τὸν μόρσιμον
« αἰῶνα. θνάσκομεν γὰρ ὁμῶς ἅπαντες
« δαίμων δ' ἄϊσος. τὰ μακρὰ δ' εἴ τις
« παπταίνει, βραχὺς ἐξικέ-
« σθαι χαλκόπεδον θεῶν
« ἕδραν· ὅτε πτερόεις
« ἔρριψε Πάγασος

ἐπῳδ. κῶλ. η.

« δεσπόταν ἐθέλοντ' ἐς οὐρανοῦ σταθμοὺς
« ἐλθεῖν μεθ' ὁμάγυριν Βελλεροφόνταν
« Ζηνός. τὸ δὲ πὰρ δίκαν
« γλυκὺ πικροτάτα μένει τελευτά.
ἄμμι δ' ὦ χρυσέᾳ κόμᾳ
θάλλων πόρε Λοξία,
τεαῖσιν ἁμίλλαισιν εὐαν-
θέα καὶ Πυθοῖ στέφανον.

## ΚΛΕΑΝΔΡΩ.
## Αἰγινήτῃ.
## Εἶδος Η.

διαίρεσις α, κῶλ. κβ.

Κλεάνδρῳ τις ἁλικίᾳ τε, λύτρον
εὔδοξον, ὦ νέοι, καμάτων,



quietus accedo ad senectutem
& ad fatale tempus. Morimur »
enim pariter omnes: sed sors »
in obscuro posita est. Quòd si- »
quis longinqua prospicit, »
breuis *est* ad perueniendum »
in deorum sedem æreum »
pauimentum habentem: quum »
alatus Pegasus excusserit * do- »
minum Bellerophontem vo- »
lentem ad cæli stationes ve- »
nire, ad concilium Iouis. Exi- »
tus autem amarissimus manet »
dulcedinem iniquam. Nobis »
verò ô Loxia florens coma
aurea, præbe pulchrè floren-
tem coronam tuis certamini-
bus etiam apud Pythonem.

## CLEANDRO
## AEginetæ.
## Ode VIII.

Cleandro aliquis & iuuentuti *eius* pretium gloriosum redemptionis à laboribus (ô iuuenes)

πατρὸς ἀγλαὸν Τελεσάρχου
παρὰ πρόθυρον ἰὼν, ἀγειρέτω
κῶμον, Ἰσθμιάδος τε νίκας
ἄποινα, καὶ Νεμέᾳ.
ἀέθλων ὅτι κράτος
ἐξεῦρε. τῷ καὶ ἐγὼ,
καίπερ ἀχνύμενος
θυμὸν, αἰτέομαι
χρυσέαν καλέσαι
μοῖσαν. ἐκ μεγάλων
δὲ πενθέων λυθέντες,
μήτ᾽ ἐν ὀρφανίᾳ πέσωμεν
στεφάνων, μήτε κά-
δεα θεράπευε παυ-
σάμενοι δ᾽ ἀπρήκτων κακῶν,
γλυκύ τι δαμωσώμεθα,
καὶ μετὰ πόνον· ἐπει-
δὴ τὸν ὑπὲρ κεφαλᾶς
γε Ταντάλου λίθον παρά τις ἔ-
τρεψεν ἄμμι θεὸς,

διαίρεσις β. κῶλ. κβ.

ἀτόλματον Ἑλλάδι μόχθον. ἀλλ᾽ ἐ-
μοὶ δεῖμα μὲν παροιχομένων
καρτερὰν ἔπαυσε μέριμναν·



*videlicet* chorealem hy-
mnũ, præmium Isthmiacæ
victoriæ, & *eius quæ parta*
*est* apud Nemeam, colligat,
patris Telesarchæ ad ve-
stibulum profectus: quo-
niam certaminum victo-
riam adeptus est. Cui & e-
go, quanuis mœstus ani-
mo, auream inuocare mu-
sam poscor. Magnis igitur
luctibus liberati, neque in
orbitatem coronarum ca-
damus, neque mœrores
foue, sed fine imposito ma-
lis inutilibus, dulce ali-
quid in publicum profera-
mus, etiam post ærum-
mnam quoniam lapidem
Tantaleum supra caput
*impendentem* auertit no-
bis aliquis deus, * labo-
rem non audendum Græ-
ciæ. Sed mihi metus de
præteritis grauem sedauit
solicitudinem.

« τὸ δὲ πρὸ ποδὸς ἄρειον αἰεὶ
« χρῆμα πᾶν. δόλιος γὰρ αἰὼν
« ἐπ' ἀνδράσι κρέμαται
« ἑλίσσων βιότου πόρον.
« ἰατὰ δ' ἐστὶ βροτῆς
« σύν γ' ἐλευθερίᾳ
« καὶ τά. χρὴ δ' ἀγαθὰν
ἐλπίδ' ἀνδρὶ μέλειν.
χρὴ δ' ἐν ἑπταπύλοι-
σι Θήβαις τραφέν-
τ', Αἰγίνᾳ χαρίτων ἄωτον
προνέμειν. πατρὸς οὕ-
νεκα δίδυμαι γένον-
το θυγατέρες Ἀσωπίδων
δ' ὁπλόταται, Ζηνί τ' ἅ-
δον βασιλῆϊ· ὃ τὰν
μὲν παρὰ καλλιρόῳ
Δίρκᾳ φιλαρμάτου πόλιος ᾠ-
κισσεν ἁγεμόνα·

διαίρεσις γ. κώλ. κϛ.

σὲ δ' ἐς νᾶσον Οἰνοπίαν ἐνεγκὼν
κοιμᾶτο, δῖον ἔνθα τέκες
Αἰακὸν βαρυσφαράγῳ πα-
τρὶ, κεδνότατον ἐπιχθονίων, ὃς καὶ



Res autem omnis quæ est »
ante pedes, præstantior sem- »
per. dolosum enim æuum »
hominibus impendet vol- »
uens vitæ cursum. Sanabilia »
autem sunt mortalibus e- »
tiam illa, cum libertate qui- »
dem: sed oportet bonam »
spem homini curæ esse. O- »
portet autem apud septipor-
tes Thebas nutritum, Æginę
tribuere florem gratiarum:
quoniam geminæ natæ sunt
filiæ patre *eodem* minimæ
natu filiarum Asopi. Iouique
placuerunt regi: qui alteram
quidem apud Dircen pul-
chrifluam collocauit, ducem
vrbis curruum studiosæ,* te
autem in insulam OEno-
piam quum tulisset, dormie-
bat *secum*: diuinum vbi pe-
peristi Æacum grauistrepo
patri, honoratissimum mor-
talium, qui etiam

Universidad de Deusto
Biblioteca



δαιμόνεσσι δίκας ἐπείραι-
νε. τοῦ μὲν ἀντίθεοι
ἀρίστευον υἱέες,
υἱέων τ' ἀρηΐφιλοι
παῖδες, ἀνορέᾳ
χάλκεον στονόεν-
τ' ἀμφέπειν ὅμαδον·
σώφρονές τ' ἐγένον-
το, πινυτοί τε θυμόν.
ταῦτα καὶ μακάρων ἐμέμναν-
τ' ἀγοραί, Ζεὺς ὅτ' ἀμ-
φὶ Θέτιος, ἀγλαός
τ' ἔρισαν Ποσειδᾶν, γάμῳ
ἄλοχον εὐειδέα θέ-
λων ἑκάτερος ἑὰν
ἔμμεν· ἔρως γὰρ ἔσχεν.
ἀλλ' οὔ σφιν ἄμβροτοι τέλεσαν εὐ-
ναὶ θεῶν πραπίδες,

διαίρεσις δ.

ἐπεὶ θεσφάτων ἤκουσαν. εἶπε
δ' εὔβουλος ἐν μέσοισι Θέμις
εἵνεκεν πεπρωμένον ἦν φέρ-
τερον γόνον ἄνακτα πατρὸς τεκεῖν
ποντίαν θεόν, ὃς κεραυνοῦ



diis lites finiebat. Cuius quidem filii diis pares & martiales nati natorum anteibant, omnes fortitudine ad administrandum strepitum æneum lacrymosum: temperantes quoque fuerunt, & prudentes animo. Hæc meminerunt etiam cælitum concilia, quum Iupiter & Neptunus illustris contenderunt de Thetidis nuptiis, vterque volens vxorem formosam suam esse. amor enim tenebat *eos.* sed immortales deorum mentes non confecerunt ipsis coniugium, * quoniam oracula audierant. Dixit enim consilio valens Themis in medio *eorum*, quòd fato decretum erat marinam deam parere filium futurum regem præstantiorem patre, qui

τε κρέασον ἄλλο βέλος
διώξει χερὶ, τριό-
δοντός τ' ἀμαιμακέτου,
Δί τε μισγομέναν,
ἢ Διὸς παρ' ἀδελ-
φοῖσιν. ἀλλὰ τὰ μὲν
παύσατε· βροτέων
δὲ λεχέων τυχοῖσα,
υἱὸν εἰσιδέτω θανόντα
ἐν πολέμῳ, Ἄρεϊ
χεῖρας ἐναλίγκιον,
στεροπαῖσί τ' ἀκμαὶ ποδῶν.
τὸ μὲν ἐμὸν, Πηλέϊ θεό-
μοιρον ὀπάσαι γάμου
Αἰακίδᾳ γέρας, ὄν-
τε ὠσεβέστατον φασ', Ἰαωλ-
κοῦ τράφειν πεδίον.

διαίρεσις ε.

ἰόντων δ' ἐς ἄφθιτον ἄντρον εὐθὺς
Χείρωνος αὐτίκ' ἀγγελίαι·
μηδὲ Νηρέος θυγάτηρ νει-
κέων πέταλα δὶς ἐγγυαλιζέτω
ἄμμιν· ἐν διχομηνίδεσσι
δὲ ἑσπέραις ἐρατὸν



manu agitaret aliud
telum potentius fulmi
ne tridentéque inex-
pugnabili, si *illa* con-
cumberet cum Ioue
aut Iouis fratribus.
Sed hæc missa facite.
Mortales autem toros
adepta, filium intuea-
tur interfectũ in præ-
lio, similem Marti ma-
nibus, vigore autem
pedum *similem* fulgu-
ribus. Meum *est* Peleo
Æacidæ dare munus
honorarium nuptia-
rum, deorum fato ap-
probatum, quem piis-
simum aiunt Iaolci in
campo educatum esse.
*Eant autem protinus
nuntia ad immortale
antrum Chironis, ne-
que Nerei filia bis tra-
dat nobis folia con-
trouersiarum, sed ve-
spera plenilunii ama-
le

λύοι κεν χαλινὸν ὑ-
φ' ἥρωϊ παρθενίας,
ὣς φάτο Κρονίδαις
ἐννέποισα θεά.
τοὶ δ' ἐπὶ βλεφάροις
νεῦσαν ἀθανάτοι-
σιν. ἐπέων δ' οὐ καρπὸς
οὐ κατέφθινε. φαντὶ γὰρ συ-
ναλέγειν καὶ γάμον
Θέτιος ἄνακτα, καὶ
νέαν αἰὲ δεῖξαν σοφῶν
στόματ' ἀπείροις ἀρε-
τὰν Ἀχιλλέος. ὃ καὶ
Μύσιον ἀμπελόεν
αἵμαξε Τηλέφου μέλανι ῥαί-
νων φόνῳ πεδίον·

διαίρεσις ς.

γεφύρωσέ τ' Ἀτρεΐδαισιν νόστον
Ἑλέναν τ' ἐλύσατο, Τρωΐας
ἶνας ἐκταμὼν δορί, ταί νιν
ῥύοντό ποτ' ἐκ μάχας ἐναριμβρότου
ἔργον ἐν πεδίῳ κορύσσον-
τα· Μέμνονός τε βίαν
ὑπέρθυμον, Ἕκτορά





soluat frænum virginita-
tis sub heroe. Sic loquuta
est compellans Saturnios
dea. at illi superciliis
immortalibus annue-
runt *dictis illius*. Nec
fructus verborum periit.
dicunt enim regem si-
mul confectas curasse
etiam nuptias Thetidis,
& ora doctorum inno-
tescere fecerunt iuueni-
lem virtutem Achillis
iis qui ignari erãt *illius*.
quòd & Mysium cãpum
vitiferum cruentauerit,
aspergens sanguine Te-
lephi: & pontem straue-
rit reditus Atridarum,
Helenámque soluerit
Troianos neruos excin-
dens hasta, qui ipsum a-
uertebant quondam à
pugna virorum interfe-
ctrice, opus *bellicum* in
campo exercentem: Me-
mnonémque robore ma-
gnanimo *præditum*, He-
ctorem



Universidad de Deusto Biblioteca

τό, ἄλλοις τ᾽ ἀριστέας· οἷς
δῶμα Περσεφόνας
μανύων Ἀχιλλεύς,
οὖρος Αἰακιδᾶν,
Αἴγιναν σφετέραν
τε ῥίζαν πρόφαινε.
τὸν μὲν οὔτι θανόντ᾽ ἀοιδαὶ
ἐλίπντ᾽, ἀλλά οἱ
παρά τε πυρὰν τάφον
θ᾽ Ἑλικώνιαι παρθένοι
ἔσταν, ἐπὶ θρηνόν τε πο-
λύφαμον ἔχευαν. ἔδο-
ξεν ἄρα δ᾽ ἀθανάτοις
ἐσλόν γε φῶτα καὶ φθίμενον ὕ-
μνοις θεᾶν διδόμεν.

διαίρεσις ζ.

τὸ καὶ νῦν φέρει λόγον, ἔσυταί τε
μοισαῖον ἅρμα Νικοκλέοις
μνᾶμα πυγμάχου κελαδῆσαι,
γεραίρετέ μιν ὃς Ἴσθμιον ἂν ἀπὸ
Δωρίων ἔλαχε σελίνων.
ἐπεὶ περικτύονας
ἐνίκασε δή ποτε
κἀκεῖνος ἄνδρας, ἀφύ-



cæteróſque eximios pugnatores, quibus Achilles princeps Æacidarum indicans domum Proſerpinæ, Æginam ſuámque ſtirpem illuſtrauit. Eum certè ne mortuum quidem carmina defecerunt: ſed eius adſtiterunt rogo ſepulchróque Heliconiæ virgines: & ſuper eum lamentationem memorabilem fuderunt. Placuit ergo immortalibus ſtrenuum virum etiam mortuum hymnis dearum tradere. *Quare & nunc affert celebrationem, & cum alacritate properat muſæus currus ad reſonandum ſepulchrum Nicoclis pugilis, honorandúmque eum, qui apud Iſthmum Dorica ſortitus eſt apia: quoniam finitimos vicit olim & ille viros, ine-

Universidad de Deusto Biblioteca

κέτῳ χερὶ κλονέων·
τὸν μὲν οὐ κατελέγ-
χει κρίτου γενεὰ
πατραδελφεοῦ. ἁ-
λίκων τῷ τις ἁβρὸν
ἀμφὶ παγκρατίου Κλεάνδρῳ
πλεκέτω μυρσίνας
στέφανον· ἐπεί νιν Ἀλ-
καθόου τ' ἀγὼν σὺν τύχᾳ
ἐν Ἐπιδαύρῳ τε νεό-
τας πρὶν ἔδεκτο· τὸν αἰ-
νεῖν ἀγαθῷ παρέχει.
ἥβαν γὰρ οὐκ ἄπειρον ὑπὸ χει-
ᾷ καλῶν δάμασε.



Vitabili manu concutiens·
Eum profectò non dede-
corat eximii genus patrui.
ideóque coætaneorum ali-
quis nectat coronam myr-
ti splendidam Cleandro ob
*victoriam* Pancratij. siqui-
dem eum Alcathoi certa-
men cum felici sorte & in
Epidauro iuuentus antea
excepit, quem laudandum
*cuilibet viro* strenuo præ-
bet. pubertatem enim non
expertem præclarorum *fa-
cinorum* sub latibulo con-
sumpsit.

# ΠΙΝΔΑΡΟΥ βίος, ὁ προτεταγμένος τῶν εἰς αὐτὸν σχολίων.

Πίνδαρος, τὸ γένος Θηβαῖος, υἱὸς Δαϊφάντου κατὰ τοὺς ἀληθεστέρους· οἱ δὲ, Σκοπελίνου φασίν. οἱ δὲ λέγουσι τὸν αὐτὸν Δαΐφαντον καὶ Σκοπελῖνον· οἱ δὲ, Παγωνίδου καὶ Μυρτοῦς, ἀπὸ κώμης Κυνοκεφάλων. ἡ δὲ Μύρτω ἐγαμήθη Σκοπελίνῳ τῷ αὐλητῇ· ὃς τὴν αὐλητικὴν διδάσκων τὸν Πίνδαρον, ἐπεὶ εἶδε μείζονος ἕξεως ὄντα, παρέδωκε Λάσῳ τῷ Ἑρμιονεῖ μελοποιῷ, παρ' ᾧ τὴν λυρικὴν ἐπαιδεύθη. γέγονε δὲ κατὰ τοὺς χρόνους Αἰσχύλου, καὶ συγγεγένηται αὐτῷ. καὶ τέθνηκεν ὅτε τὰ Περσικὰ ἤκμαζεν. ἔσχε δὲ θυγατέρας, Πολύμητιν καὶ Πρωτομάχην. κατῴκει δὲ τὰς Θήβας πλησίον τοῦ ἱεροῦ τῆς



# PINDARI VITA, scholiis Græcis præfixa.

Pindarus genere Thebanus, filius Daiphanti, secundùm veraciores. Alii Scopelini *filium* tradunt. Nonnulli verò eundem dicunt Daiphantum & Scopelinum. Sunt qui *filium dicant* Pagonidæ & Myrtûs, è vico Cynocephalorum. Myrtô autem maritum habuit Scopelinum tibicinem: qui docens Pindarum artem tibiarum, postquam animaduertit maioris indolis esse, tradidit Laso Hermioneo lyrico, à quo lyricam artem edoctus fuit. Extitit autem tempore Æschyli, versatúsque est cum eo: ac mortuus est quum res Persicæ florerent. Habuit autem filias duas Polymetin & Protomachen. Incolebat autem Thebas, iuxta templum



Universidad de Deusto Biblioteca

μητρὸς τῶν θεῶν Ῥέας τὴν οἰκίαν ἔχων. ἐτίμα δὲ τὴν θεὸν σφόδρα ὢν εὐσεβέστατος, καὶ τὸν Γᾶνα, καὶ τὸν Ἀπόλλωνα· εἰς ὃν καὶ πλεῖστα γέγραφεν. νεώτερος δὲ ἦν Σιμωνίδου, πρεσβύτερος δὲ Βακχυλίδου. κατὰ δὲ τὴν τοῦ Ξέρξου κατάβασιν ἤκμαζε τὴν ἡλικίαν. ἐτιμήθη δὲ σφόδρα ὑπὸ πάντων τῶν Ἑλλήνων διὰ τὸ ὑπὸ τοῦ Ἀπόλλωνος οὕτω φιλεῖσθαι ὡς καὶ μερίδα τῶν προσφερομένων τῷ θεῷ λαμβάνειν, καὶ τὸν ἱερέα βοᾶν ἐν ταῖς θυσίαις Πίνδαρον ἐπὶ τὸ δεῖπνον τοῦ θεοῦ. λόγος καὶ τὸν Πᾶνα ὀρχήσασθαί ποτε τὸν αὐτοῦ παιᾶνα, καὶ χαίρειν ᾄδοντα τοῦτον ἀεὶ ἐν τοῖς ὄρεσι. φασὶ δὲ καὶ ὅτι ποτὲ Λακεδαιμόνιοι Βοιωτοὺς ἐμπρήσαντες καὶ Θήβας, ἀπέσχοντο μόνης τῆς οἰκίας αὐτοῦ, θεασάμενοι ἐπιγεγραμμένον τόνδε τὸν στίχον, Γινδάρου τοῦ μουσοποιοῦ τὴν στέγαν μὴ καίετε. ὅπερ καὶ τὸν Α-



matris deorum Rheæ domicilium habens. Colebat verò deam studiosissimè, vt qui esset piissimus, Panem quoque & Apollinem: in quem etiam plurima composuit. Ætate posterior erat Simonide, prior Bacchylide. Tempore descensus Xerxis, ætate florebat. Porro magno in honore fuit apud omnes Græcos, quòd ab Apolline adeo amaretur, vt etiam partem eorum quæ deo offerebantur, acciperet, & sacerdos in sacrificiis Pindarum vocaret ad cœnam dei. Fama est Panem quoque saltasse aliquando pæanem eius, & solitum libenter eum per montes canere. aiunt etiam Lacedæmonios olim, quum Bœotorum regionem incendio vastassent & Thebas ab vna eius domo abstinuisse, inscriptum hunc versum conspicatos, Γινδάρου τοῦ μουσοποιοῦ τὴν στέγαν μὴ καίετε, (id est Pindari poetæ tectum ne comburite. Quod & A-

λεξανδρον μετὰ ταῦτα φασὶ πε-
ποιηκέναι. καὶ γὰρ οὗτος ἐμπρήσας
τὰς Θήβας, μόνης τῆς ἐκείνου οἰ-
κίας ἐφείσατο. ἐχθρωδῶς δὲ δια-
κειμένων τῶν Ἀθηναίων πρὸς τοὺς
Θηβαίους, ἐπεὶ εἶπεν ἐν τοῖς αὐτοῦ
ποιήμασι, μεγαλοπόλιες Ἀθᾶναι,
ἐζημίωσαν αὐτὸν χρήμασιν οἱ Θη-
βαῖοι, ἅπερ ὑπὲρ ἐκείνου ἔτισαν Ἀ-
θηναῖοι. γέγραπται δὲ αὐτῷ ἑπτα-
καίδεκα βιβλία, ὧν τέσσαρα, ἡ
λεγομένη περίοδος, τὰ δέ, τὰ Ὀ-
λύμπια φημί, τὰ Πύθια, τὰ Νέ-
μεα, καὶ τὰ Ἴσθμια, ἔστι δὲ τὰ Ὀλύμ-
πια, ἀγὼν εἰς τὸν Δία· τὰ Πύθια,
ἀγὼν εἰς τὸν Ἀπόλλωνα· τὰ Νέμεα,
ἀγὼν καὶ αὐτὸς εἰς τὸν Δία· τὰ δὲ Ἰσ-
θμια, ἀγὼν εἰς τὸν Ποσειδῶνα. τὰ δὲ
ἔπαθλα τούτων, ἐλαία, δάφνη, σέ-
λινον ξηρόν τε καὶ χλωρόν. ἀλλὰ
περὶ μὲν τῶν ἄλλων οὐ χρεία
νῦν ὧδε λέγειν· περὶ δὲ τῆς θέσεως
τῶν Ὀλυμπίων λεκτέον. τινὲς μὲν



lexander postea fecisse fertur.
hic enim quum incendisset
Thebas, soli eius domui pe-
percit. Quum autem infensi
Athenienses essent Thebanis,
quòd dixisset in suis poëmati-
bus, μεγαλοπόλιες Ἀθᾶναι *id est
grandiurbes Athenæ*, pecunia-
riam mulctam illi irrogarunt,
quam pro illo Athenienses
dependerunt. Scripsit porro
libros septemdecim, ex quo-
rum quatuor constat ea quæ
vocatur periodus: his videli-
cet, Olympiis, Pythiis, Ne-
meis, & Isthmiis. Sunt autem
Olympia, certamen in hono-
rẽ Iouis: Pythia, certamen in
honorem Apollinis: Nemea,
certamẽ & ipsum in honorem
Iouis. Isthmia verò, certamen
in honorẽ Neptuni. Quorum
præmia, oliua, laurus, apium
aridum & viride. Cæterùm
de aliis nihil necesse est nunc
verba facere: at de constitu-
tione Olympiorum dicen-
dum est. nonnulli quidem

Universidad de Deusto Biblioteca

εἰς τὰ περὶ Οἰνομάου καὶ Πέλοπος ἀναφέρουσιν, ἕτεροι δὲ Ἡρακλεῖ ἀνατιθέασιν. ὃ καὶ Πίνδαρος λέγει, ἐνδοξότερον ποιῶν τὸν ἀγῶνα. ἐπεὶ γὰρ τὴν Αὐγείου κόπρον ἐκάθηρε, καὶ τῶν ἐπηγγελμένων οὐκ ἔτυχε, συναγαγὼν πολὺν στρατὸν, τόν τε Αὐγείαν φονεύει, καὶ τὴν Ἦλιν παρεστήσατο, καὶ πολλὰ λάφυρα συναγαγὼν, ἀγῶνα τίθησι τοῖς μετ' αὐτοῦ πολεμήσασιν. ὅθεν καὶ τὸ ἔθος διαμεῖναι. ἀλλ' οὐδὲν αὕτη ἔμεινεν ἡ θέσις ἐπὶ τῆς συμβάσης αὐτῷ δυσχερείας. ὑπόμνησις δὲ ἦν. ἀλλ' Ἴφιτός τις καὶ Εὐρύλοχος τοὺς Κιρραίους πολεμήσαντες (οὗτοι δὲ ἦσαν οἱ τὴν παράλιον τῆς Φωκίδος λῃσταὶ κατέχοντες) καὶ πολλὰ λάφυρα συναγαγόντες, ὁ μὲν Ἴφιτος τὰ Ὀλύμπια συνεστήσατο, ὁ δὲ τὰ Πύθια Εὐρύλοχος. καὶ ἐκ τούτου ἐπιμεῖναι τὴν θέσιν συνέβη. Τέθνηκε δὲ ὁ Πίνδαρος, ἓξ καὶ ἑξήκοντα ἐτῶν γεγο-



Ad OEnomaum & Pelopem refe-
runt, alii verò Herculi attribuunt.
quod & Pindarus testatur, illu-
strius reddens certamen. Quum
enim Augiæ *stabulum* fimo pur-
gasset, & promissa consequutus
non esset, collecto numeroso exer-
citu, Augiam interficit, & Elide
subiugata, quum spolia multa coë-
gisset, certamen constituit iis qui
cum ipso militauerant. vnde &
consuetudinem permansisse. Nec
verò hæc constitutio mansit in ea
quæ acciderat ipsi difficultate:
(commemoratio autem erat) sed
Iphitus quidem & Eurylochus
quum Cirrhæos debellassent (hi
autem erant prædones oram ma-
ritimam Phocidis tenentes) in-
gentémque prædam coegissent,
Iphitus Olympia, Eurylochus Py-
thia instituit: & ab hoc tempore
permanere constitutionem conti-
git. Obiit Pindarus annos sexa-
ginta sex na-

Universidad de Deusto Biblioteca



νάς, ἢ (ὥς τινες) ὀγδοήκοντα, ἐπὶ Ἀβίωνος ἄρχοντος, κατὰ τὴν ἕκτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα, ἀκροατὴς δὲ γέγονε Σιμωνίδου. Ὁ δὲ ἐπινίκιος οὗ ἡ ἀρχὴ Ἄριστον μὲν ὕδωρ, προτέτακται ὑπὸ Ἀριστοφάνους τοῦ συντάξαντος τὰ Πινδαρικά, διὰ τὸ περιέχειν τοῦ ἀγῶνος ἐγκώμιον, καὶ τὰ περὶ τοῦ Πέλοπος, ὃς πρῶτος ἐν Ἤλιδι ἠγωνίσατο. γέγραπται δὲ Ἱέρωνι βασιλεῖ Συρακουσίων, (αἱ δὲ Συράκουσαι πόλις τῆς Σικελίας) ὃς καὶ κτίστης Αἴτνης ἐγένετο πόλεως, ἀπὸ τοῦ ὄρους αὐτὴν οὕτως ὀνομάσας. ἀποστείλας γὰρ οὗτος ἵππους εἰς Ὀλυμπίαν, ἐνίκησε κέλητι.

## ΑΛΛΩΣ, ἐκ τῶν τοῦ Σουΐδα.

Πίνδαρος Θηβαῖος, Σκοπελίνου υἱός· κατὰ δέ τινας, Δαϊφάντου, ὃ καὶ μᾶλλον ἀληθές· ὁ γὰρ Σκό-



tus, aut (secundùm alios) octoginta, sub archonte Abione, octogesima sexta Olympiade. fuit autem auditor Simonidis. Cæterùm triumphalis hymnus, cuius initium Ἄριστον μὲν ὕδωρ, primo loco positus fuit ab Aristophane, qui Pindarica in ordinem digessit: quòd certaminis laudes complecteretur, & Pelopis *mentionem faceret*, qui primus apud Elidem certauit. Inscriptus est autem Hieroni regi Syracusanorum. sunt autem Syracusæ vrbs Siciliæ. qui & vrbem Ætnam condidit, imposito ei à monte nomine. Hic enim quũ equos Olympiam misisset, celete *equo* victoriam adeptus est.

## ALITER, ex Suida.

Pindarus Thebanus, Scopelini filius, secundùm quosdam, Daiphanti: quod & verius. nam Sco-

πελίνου ἐστὶν ἀφανέστερος, καὶ πρεσβύτερος Πινδάρου. τινὲς δὲ καὶ Παγωνίδου ἱστόρησαν αὐτόν. μαθητὴς δὲ Μυρτίδος γυναικός, γεγονὼς κατὰ τὴν ἑξηκοστὴν πέμπτην ὀλυμπιάδα, κατὰ τὴν Ξέρξου στρατείαν, ὢν ἐτῶν μ̄. καὶ ἀδελφὸς μὲν ἦν αὐτῷ ὄνομα Ερωτίων, καὶ υἱὸς Διόφαντος· θυγατέρες δέ, Εὔμητις καὶ Πρωτομάχη. συνέβη δὲ αὐτῷ τὸν βίον τελευτῆσαι κατ' εὐχάς. αἰτήσαντι γὰρ τὸ κάλλιστον αὐτῷ δοθῆναι τῶν ἐν τῷ βίῳ, ἀθρόον αὐτὸν ἀποθανεῖν ἐν θεάτρῳ, ἀνακεκλιμένον εἰς τὰ τοῦ ἐρωμένου αὐτοῦ Θεοξένου γόνατα, ἐτῶν νε̄. ἔγραψε δὲ ἐν βιβλίοις ιζ, Δωρίδι διαλέκτῳ, ταῦτα, Ὀλυμπιονίκας, Πυθιονίκας, Νεμεονίκας, Ἰσθμιονίκας, Προσώδια, Παρθένια, Ἐνθρονισμούς, Βακχικά, Δαφνηφορικά, Παιᾶνας, Ὑπορχήματα, Ὕμνους διθυράμ-



pelini *filius* obscurior est, & an
tiquior Pindaro. Sunt autem
& qui Pagonidæ *filium* illum
scripserint. Discipulus fuit
Myrtidis mulieris, natus circa
sexagesimam quintam Olym-
piadem, tempore expeditionis
Xerxis, annum agens quadra-
gesimum. Frater ei erat nomine
Erotio, & filius Diophantus,
filiæ autem Eumetis & Pro-
tomache. Accidit autem ei
vt diem obiret per votum.
nam quum petiisset rem sibi
dari, qua nulla esset præstan-
tior in vita, repente ipsum
interiisse *ferunt* in theatro,
in Theoxeni amasii sui genua
recumbentem, quum quinqua
gesimum quintum attigisset an
num. Ceterùm scripsit libris se-
ptẽdecim Dorica dialecto hæc,
Olympionicas, Pythionicas,
Nemeonicas, Isthmionicas,
Prosodia, Parthenia, Enthro-
nismos, Bacchica, Daphnepho-
rica, Pæanas, Hyporchemata,
Hymnos dithyram-

Universidad de Deusto Biblioteca



βοις, Σκόλια, Ἐγκώμια, Θρήνοις, Δράματα τραγικὰ ιζ, Ἐπιγράμματα ἐπικά. καὶ καταλογάδην, Παραινέσεις τοῖς Ἕλλησι καὶ ἄλλα πλεῖστα.

## ΠΕΡΙ ΤΩΝ ΣΤΡΟΦΩΝ, ἀντιστροφῶν τε καὶ ἐπῳδῶν.

### Ἐκ τῶν προλεγομένων τῶν εἰς τὸν Πίνδαρον σχολίων.

Ιστέον ὅτι οἱ λυρικοὶ ἐν τοῖς ποιήμασιν αὐτῶν ἐχρῶντο στροφῇ, ἀντιστροφῇ καὶ ἐπῳδῷ. καὶ στροφὴ μὲν, ὅτ' ἀπὸ τῶν δεξιῶν ἐστρέφοντο ἐπὶ τὰ ἀριστερά. ᾗ τινι ἀναλογεῖ ἡ τοῦ παντὸς κίνησις, ἀπὸ τῶν ἀνατολικῶν ἐπὶ τὰ δυτικά. δεξιὰ γὰρ καλεῖ ὁ Ομηρος τὰ ἀνατολικά. ἀριστερὰ δὲ τὰ δυτικά. ἀντιστροφὴ δὲ, ὅτε ἐκινοῦντο ἀπὸ τῶν ἀριστερῶν



bos, Scolia, Encomia, Lamentationes, Fabulas tragicas septemdecim, Epigrammata epica: item soluta oratione Admonitiones ad Græcos, aliáque plurima.

## DE STROPHIS antistrophis & epodis.

### *Ex prologemenis scholiorum in Pindarum.*

Sciendun est lyricos in suis poëmatibus vti solitos strophe, antistrophe & epodo. Strophe, quum à dextris ad sinistra se conuertebant. cum qua *conuersione* analologiam habet motus mundi ab orientalibus ad occidentalia. nam dextra vocat Homerus orientalia, & sinistra occidentalia. Antistro. phe autem *vsos fuisse* quum à sinistris

ἐπὶ τὰ δεξιά. ᾗ τινι ἀναλογεῖ ἡ τῶν πλανήτων κίνησις, ἡ ἀπὸ δύσεως εἰς ἀνατολάς. ἐπῳδῷ δὲ, ὅτε ἵσταντο ἐν ἑνὶ τόπῳ, καὶ ἔλεγον τὰς ᾠδάς. ᾗ τινι ἀναλογεῖ ἡ στάσις τῆς γῆς. ἐχρῶντο δὲ καὶ δυάσι καὶ τριάσιν, ὡς ἐστὶν ὁ ποιητής, ἤγουν στροφῇ, καὶ ἀντιστροφῇ καὶ ἐπῳδῷ· ἢ στροφῇ μόνῃ καὶ ἀντιστροφῇ. πολλοὶ δὲ καὶ τετράσιν, ἤγουν στροφῇ, ἐπῳδῷ, ἀντιστροφῇ, καὶ πάλιν ἀνομοίᾳ ἐπῳδῷ. πεντάσι δὲ, ἤγουν, ἐπῳδῷ, στροφῇ, ἐπῳδῷ, ἀντιστροφῇ, ἐπῳδῷ· ἅτινα ἐλέγετο προσῳδικά, ἐπῳδικά, μεσῳδικά, καὶ παλινῳδικά.

## ΑΛΛΩΣ ΠΕΡΙ τῶν αὐτῶν.

Ἐπειδὴ λυρικός ἐστιν ὁ Πίνδαρος, καὶ πρὸς λύραν ᾄδονται τὰ ποιήματα αὐτοῦ κατὰ τριάδας, στροφὴν, ἀντιστροφὴν, καὶ ἐπῳ-



ad dextra se mouerent. cui *motus* analogicè respondet motus planetarum, ab occasu ad orientem. Epode verò, quum starent vno in loco, & recitarent odas. quæ comparatur cum terræ stabilitate. Vtebantur autem & duernionibus & triernionibus, sicut hic poeta: videlicet, strophe, antistrophe & epodo: aut strophe duntaxat & antistrophe. Multi etiam quaternionibus, nimirum strophe, epodo, antistrophe, & rursum dissimili epodo. Quinternionibus verò, epodo, strophe, epodo, antistrophe epodo. quæ vocabantur prosodica, epodica, mesodica, & palinodica.

## ALITER DE iisdem.

QVoniam lyricus est Pindarus, etiam ad lyram canuntur poemata eius per trierniones, strophen, antistrophen &

Universidad de Deusto
Biblioteca

δον. καὶ ἐκ κώλων τὰ μέλη συνίσταν-
ται, πλὴν καὶ ὅσων καὶ ὁποίων ἡ στρο-
φὴ, ἐκ τοσούτων καὶ τοιούτων καὶ ἡ
ἀντίστροφος. ἡ δὲ ἐπῳδὸς ἀνόμοιός
ἐστι πρὸς αὐτάς· καὶ εἰκότως. ἐπεὶ
κινουμένοις εἰς τὰ δεξιὰ τοῖς χορευ-
ταῖς ᾔδετο ἡ στροφὴ, εἰς δὲ τὰ ἀρι-
στερὰ ἐκ τῶν δεξιῶν ἡ ἀντίστροφος·
ἡ δὲ ἐπῳδὸς ἱσταμένοις διεβιβάζετο,
εἰς εἰκόνα τῆς τε τοῦ παντὸς κινήσεως
ἀπὸ ἀνατολῶν εἰς δυσμὰς, τῆς τε τῶν
πλανητῶν κινήσεως ἀπὸ δύσεως εἰς
ἀνατολὰς, καὶ τῆς γῆς ἀκινησίας. καὶ
οὕτω μὲν ἡ τριαδικὴ μελοποιΐα κατὰ
τὰς στροφὰς καὶ ἀντιστρόφοις καὶ τὰς
ἐπῳδούς. ταῦτα δὲ ἐκ κώλων συνί-
στανται· τὰ δὲ κῶλα μέτρον διάφο-
ρον ἔχουσιν ἐκ ποδῶν συνιστάμενον.



dum: atque ex colis constant
*μέλη, id est carmina.* verùm ex
quot & qualibus strophe, ex
tot & talibus antistrophe. At
epodus dissimilis est illis. & me-
ritò quidem: quoniam dum se
in dextram partem mouerent
saltatores, canebatur strophe:
dum autem à dextra *se moue-
rent* in sinistram, antistrophe.
epodus verò stantibus traijcie-
batur, ad figurandum mundi
motum ab oriente ad occiden-
tem, & planetarum ab occasu
ad orientem: & *ad figurandam*
immobilitatem terræ. & talis
quidem triplex melopœia, per
strophas, antistrophas & epo-
dos. Hæc autem è colis con-
stant: at cola variam mensuram
habent, quæ ex pedibus con-
stat.

Universidad de Deusto Biblioteca



# PINDARI VITA, ex Lilij Greg. Gyraldi dialogo IX. De poetarum historia.

*QVare iam ad Pindarum accedamus: qui, ut Fabius ait, longè inter nouem lyricos princeps. id quod & ex pictura facilè cognosci dabatur: augustiori enim specie quàm reliqui (quæ pictoris fuit industria) erat in tabula depictus. Floruit verò, ut scribit Eusebius, Pindarus* LXXVI. *Olymp. quo tempore in scena florebat Æschylus, & Gelon tyrannidem obtinebat Syracusas: vixitque usque ad tempora Hieronis, Gelonis fratris, ad quem & hymnos scripsit. Dinomenis enim filii quattuor fuere, Gelon, Hieron, Polyzelus & Thrasybulus. Alii quidem* LXV. *Olympiade eum vixisse scribunt, quos inter Suidas: sed hoc tempore natum putarim, illo verò claruisse. Quo eodem tempore Xerxes in Græciam ingentes illas copias terra marique ducebat,*
*Pindarus tum* XL. *annum agebat. Thebis utique natus, unde & Dircæus cygnus vel olor à poetis nuncupatus est. Natum quidem eum ait Stephanus in vico vel regiuncula Cynocephalorum. id quod & ipsius poetæ commentatores affirmant. neque enim crassus aër semper incultos ac rudes homines profert. nam in eo natus Pindarus, lyricorum omnium fuit, ut Græcè dicam, ἐνδοξότατος. Patrem, ut quidam scribunt, Scopelinũ tibicinem habuit, à quo ea arte primùm institutus fuisse traditur. Qui rem melius scrutati sunt, Pindarum aiunt Daiphanti filium: alii licet Pagonidæ & Myrtidos poetriæ dicant, quam & Myrtò vocatam ab aliquibus inuenio. Sunt qui eius discipulum scribant, nec Pagonidæ uxorem, sed cuius modò meminimus Scopelini: à quo Pindarus Laso Hermioneo lyrico poetæ erudiendus traditus fuit, qui non longè pòst magistrum magno interuallo superauit. Non desunt inter scriptores qui Pindari matrem Clidicen nuncupent, eundémque Daiphantum & Scopelinum fuisse: quod in Pindarũ grammatici obseruant. Fratrem habuit Pindarus Erotionem nomine. Duxit*

*& vxorem Timoxenam, ex qua filios tres sustulit, marem vnum, Daiphantum: fœminas duas, Eumetin (quam Polymetin ab aliis vocatam lego) & Protomachen: quibus etiam in Pythionico quopiam hymno præcepit vt matri Deum & Pani nocturna sacra facerent. hos enim deos summa veneratione ac pietate coluit, domúmque possedit, deorum matri templo coniunctam. quod cùm ipse & Philostratus, tum ipsius quoque Pindari expositores planè ostendunt.*

*Nec minùs quoque Apollini gratus fuisse dicitur, adeo vt eorum munerum quæ in ipsius dei templo offerebantur,* μερίδα, *hoc est partem, a deo sibi assignatam acciperet, in diésque a sacerdote vocaretur ad cœnam: id enim apud Delphos Pythia antè prædixerat. Quare factum est vt nomen Pindari latè per omnem Græciam celebre haberetur. sed & apud reges & respublicas, non modò quum in viuis ageret, sed & post mortem gratum illum fuisse, historiæ probant. Nam quum Thebas Alexander (vt Arrianus & Plinius referunt) diriperet, Pindari vatis fami-*



*liæ penatibúsq; parci iussit. id quod & antea Lacedæmonios fecisse legimus, propter hanc in ipsius poetæ domus, propter hanc in ipsius poetæ domo metro trochaico hypermetro factam inscriptionem,* Πινδάρου τοῦ μουσοποιοῦ τὰν στέγαν μὴ καίετε, *hoc est,* Pindari poetæ tectum ne cremate. *quæ verba ab Alexandro pro ædibus inscripta fuisse, Dion testatum reliquit. Præclara sunt ista profectò, Piso ait, Pindaricæ fidis præconia. Cui ego, Præclara inquam: sed quæ ab eo edita fuere, longè magis mihi illustria videntur. Composuit enim vltra* XVII. *libros, inter quos hi numerantur, qui nunc in omnium manibus & ore versantur, Hymni in quatuor Græciæ certaminum victores, vario carminum genere conscripti, ac periodi nomine celebrati. Reliqua eius scripta perierunt, Pæanes, Dithyrambi, Scolia, Epitaphia, Encomia, Threni, Prosodia, Parthenia, Enthronismi, Bacchica, Daphnephorica, Hyporchemata, Dramata tragica. quæ & ab Hermogene, vbi de sermonis castitate agit, valdè celebrantur. Scripsit itē epigramata epica, & ad Græcos oratione soluta admonitio-*

Universidad de Deusto Biblioteca

Universidad de Deusto Biblioteca



nes. Diuinam tamen hanc poetices facultatem in genesin transtulit Villius, vel (vt vulgò appellatur) Iulius Firmicus Maternus. natum enim esse Saturno in nono ab horoscopo loco constituto in Geminis: quæ genitura, (vt ipsius Firmici verbis vtar) diuinum poetam lyrici carminis reddit, qui choreas Libero & rhythmos, sed & rara religiosi carminis modulatione componat. Atqui ego in eius potius studiũ & naturæ corporis habitum refero, quàm in astrorũ coitiones motúsque. quæ omnia mira diligentia & facũdia vterque Picus, (pater scilicet, & magnus patruus huiusce nostri Pici pueri) refellerunt: & idcirco nos reliquum potius vitæ referamus. Pindarus igitur quũ adhuc in cunis esset infans, apis, tanquam in alueari, in ore ipsius mella & fauos deposuit. id quod & Platoni diuóq; Ambrosio contigisse Græcæ & nostræ historiæ tradunt: diuinæ certè cuique suauitatis singulare præsagium. Alij verò (inter quos Pausanias) prodiderunt, Quum adolescentulus esset Pindarus, æstiuóq; tempore Thebis Thespias iret, æstu meridia-



no fatigatus, præ somno ac lassitudine paululum è via declinauit: proinde stratúsque quum dormiret, aduolantes ad eius os apes in labiis mellificarunt. huius quoque rei mentio est in Græco quodam carmine, quod de vita Pindari inscribitur. Sed multo locupletiùs hanc rem in secundo imaginum scribit Philostratus, vbi elegantissimè Pindari imaginem effingit, vitámque perstringit. Sed enim iunior fuit Pindarus quàm Simonides, quem & aliquando audiuisse fertur: Corinnæ verò æqualis, à qua & aliquando in certamine victus fuit, vt in eius imagine planius referemus. at Bacchylide senior fuit. Sed iam quæso attendite quod à Pausania proditum est contigisse iam senescenti. Pindaro, inquit, per somnum Proserpinam deam obuersatam esse, & apud eum questam quod cæteri quidem dei ab eo hymnis celebrati forent, solam se ab eo præteritam: id verò se facturum quum ad eam venisset, pollicitus est Pindarus. at quum ante decimum diem is diem obiisset, anus cuidam affini, quæ carmina persæpe canere

Universidad de Deusto Biblioteca



consuerat, per somnum astitit, hymnúmque in Proserpinam deam ille concinuit, quem illa experrecta statim exscripsit, & aliis concinendum tradidit. Miraculum quidem hoc: at obitum illius iam Valerij Maximi verbis referamus. Pindarus, inquit, quum in gymnasio super gremium pueri, quo vnicè delectabatur, capite posito, quieti se dedisset, nõ prius decessisse cognitus est quam gymnasiarcho claudere eum iam locum volente, nequaquam excitaretur. Cui quidem, inquit, crediderim eadem benignitate deorum, & tantum poeticæ facundiæ, & iam placidum vitæ finem attributum. Hæc Valerius. Sed par est audire & Plutarchum, quid de hac Pindari morte scribat in paramythica (id est consolatoria) oratione ad Apollonium. De Agamede, inquit, & Trophonio ait Pindarus, quum in Delphis templũ condidisset, eos mercedem ab Apolline petiisse: septima se die eis redditurum, deum promisisse. iussisséque interea eos epulari. Iis ita, vt sibi iussum fuerat, facientibus, septima demum nocte dum quiescerent, interi-



isse proditũ est, inquit: & ipsi Pindaro per eos qui à Bœotiis ad oraculum missi fuerant sciscitantis quid optimũ homini cõtingeret, promantin (hoc est) vatem respondisse, id quod neque ipsũ lateret, siquid ipse de Agamede & Trophonio scripserit: idq; si experiri vellet, nõ multo pòst illi manifestũ futurũ. Itaq; persuasum quæ ad mortem pertinerent cogitasse Pindarum, atque ita nõ multo pòst diem suũ obisse. Scribit & hoc Suidas, Quũ petiisset Pindarus, inquit, vt quod optimũ in vita esset sibi daretur, in theatro ei contigisse vt in genibus sibi dilecti pueri moreretur, annũ agẽs quintum & quinquagesimum: puero verò illi nomen fuisse Theoxeno legimus, qui, vt Athenæus scribit, Tenedius erat. Legũtur & hodie Pindari versus in hũc ipsum puerũ, quibus, se radiis ex illius facie prodeũtibus atque emicãtibus, mirabiliter affici ait. Proditum est historia, Thebanis cũ Atheniensibus dissidẽtibus, quũ Pindarus quodã suo carmine scripsisset, ὦ ταλαίπωροι καὶ μεγαλοπόλιες Ἀθῆναι, hoc est, ô infœlices & magnifica vrbs Athenæ, à suis ciuibus Thebanis magna

pecunia mulctatum fuisse. quod ubi Athenienses resciure, auri tantundem et restituerunt. Quum item alias fulcimentum ac sustentaculum Graeciæ Athenas apellasset (hoc est ἔρεισμα Ἀθᾶναι,) Laconem tum quendam statim subintulisse, citò Græciam funditus ruituram, si huiusmodi, inquit, fulciatur sustentaculo. Atque hæc quidem in præsentia de Pindaro.

Universidad de Deusto Biblioteca

Universidad de Deusto
Biblioteca

Universidad de Deusto
Biblioteca